ACHEMINER, *v. a.* προ-άγω, *fut.* προ-άξω, *acc.* Acheminer quelqu'un aux honneurs, εἰς τὰς ἀρχάς τινα προ-οδοποιέω, ῶ, *fut.* ήσω. Acheminer une affaire à sa fin, τὸ πρᾶγμα προάγω, *fut.* άξω. || S'acheminer, *être ou se mettre en route*, πορεύομαι, *fut.* πορεύσομαι. || S'acheminer, *s'avancer*, προ-βαίνω, *fut.* βήσομαι. S'acheminer aux honneurs, εἰς τὰς ἀρχὰς προκόπτω, *fut.* κόψω.

ACHETER, *v. a.* ὠνέομαι, οῦμαι, *fut.* ὠνήσομαι (*aor.* ὠνησάμην *ou* ἐπριάμην), *acc.* —de quelqu'un, παρά τινος. —presque pour rien, ἀντ' οὐδενός. —pour de l'argent, χρημάτων. —à bon marché, ὀλίγου. —cher πολλοῦ. —deux ou trois oboles, δύο ἢ τριῶν ὀβολῶν. Cette maison a été achetée fort cher, ἡ οἰκία πλείστου ἐωνήθη. Acheter au marché, ἀγοράζω, *fut.* άσω, *acc.* Acheter une robe à des marchands, ἀγοράζω χιτώνιον παρὰ τῶν πωλούντων. Je veux m'acheter une voiture, ὄχημα πορίσεσθαι *ou* ποριεῖσθαι μέλλω, *fut.* μελλήσω (πορίζομαι, *fut.* ίσομαι). Avoir envie d'acheter, ὠνητιάω, ῶ, *fut.* άσω,

acc. : ὠνησείω, *sans fut.* Qu'on peut acheter, ὤνιος, α *ou* ος, ον : ὠνητός, ή, όν. Qu'on n'a pas besoin d'acheter, ἀπρίατος, ος, ον. Acheté, *au propre et au fig.* ὠνητός, ή, όν. Décret obtenu par des suffrages achetés, τὸ ὠνητὸν ψήφισμα, ατος. J'achète la gloire au prix de ma vie, ὠνοῦμαι τῆς ψυχῆς τὴν δόξαν, *Plut.* L'honneur s'achète au prix du sang, αἵματος ὠνία ἐστὶν ἡ ἀρετή, *Eschin.* La gloire ne s'achète pas à prix d'argent, δόξα οὐκ ὠνητὴ χρημάτων, *Isocr.*

ACHETEUR, *s. m.* ὠνητής, οῦ (ὁ) : ἀγοραστής, οῦ (ὁ).

ACHÈVEMENT, *s. m.* τελείωσις, εως (ἡ).

ACHEVER, *v. a.* ἀπο-τελέω, ῶ, *fut.* τελέσω, *acc.* : τελειόω, ῶ, *fut.* ώσω, *acc.* : ἀνύω *ou* ἀνύτω, *fut.* ἀνύσω, *acc.* Achever son discours, τὸν λόγον δια-περαίνω, *fut.* ανῶ. Il ne peut venir à bout d'achever son discours, οὐδ' ἐξ-ανύσαι τὸν λόγον δύναται (ἐξ-ανύω, *fut.* -ανύσω). Achever un ouvrage, τὸ ἔργον ἀπ-εργάζομαι, *fut.* εργάσομαι. La guerre serait déjà achevée, δι-επέπρακτ' ἂν ὁ πόλεμος (δια-πράσσομαι, *fut.* πραχθήσομαι). Achever de compter, δι-αριθμέω, ῶ, *fut.* ήσω. Achever d'instruire, δια-παιδεύω, *fut.* εύσω, *et ainsi d'un grand nombre d'autres verbes.* || Achever, *ôter un reste de vie*, κατ-εργάζομαι, *fut.* εργάσομαι, *acc.* Il l'acheva d'un coup de hache, κατ-ειργάσατο αὐτὸν πελέκει. || Achevé, *accompli, parfait*, ἀπο-τετελεσμένος, η, ον (*partic. d'*ἀπο-τελέω, ῶ) : τέλειος, α, ον (*comp.* ότερος, *sup.* ότατος). Achevé de tout point, κατὰ πάντα τέλειος, α, ον.

ACHOPPEMENT, *s. m.* Pierre d'achoppement, πρόσκομμα, ατος (τὸ).

ACIDE, *adj.* ὀξύς, εῖα, ύ (*comp.* ύτερος, *sup.* ύτατος) : ὀξώδης, ης, ες, *Gal.* Les acides, τὰ ὀξώδη, ῶν, *Gal.*

ACIDITÉ, *s. m.* ὀξύτης, ητος (ἡ), *Al. Aphr.*

ACIDULE, *adj.* ὑπόξυς, υς, υ, *Diosc.*

ACIER, *s. m.* χάλυψ, υβος (ὁ). Fait d'acier, χαλυβικός, ή, όν.

ACOLYTE, *s. m.* ἀκόλυτος, ου (ὁ), *Eccl.*

ACONIT, *s. m. plante*, ἀκόνιτον, ου (τὸ).

s'ACOQUINER, *v. r.* προσ-εθίζομαι, *fut.* εθισθήσομαι, *dat.* S'acoquiner à une vie molle et fainéante, ἐπὶ τὸ ῥαθυμεῖν ἀπο-κλίνω, *fut.* κλινῶ.

ACOUSTIQUE, *adj.* ἀκουστικός, ή, όν. || L'acoustique, *science*, ἡ ἀκουστική, ῆς (*sous-ent.* τέχνη).

ACQUÉREUR, *s. m.* κτήτωρ, ορος (ὁ). L'acquéreur de ce champ, ὁ τὸν ἀγρὸν κτησάμενος, ου (*partic. aor.* 1er *de* κτάομαι, ῶμαι).

ACQUÉRIR, *v. a.* κτάομαι, ῶμαι, *fut.* κτήσομαι, *acc.* Acquérir en outre, ἐπι-κτάομαι *ou* προσ-κτάομαι, ῶμαι, *acc.* Acquérir *ou* s'acquérir un très-grand renom, μεγίστης δόξης ἐπι-τυγχάνω, *fut.* τεύξομαι. Sachez que l'expérience s'acquiert par la pratique, ἴσθι τὴν ἐμπειρίαν γινομένην ἐκ τῶν πράξεων (γίνομαι, *fut.* γενήσομαι : Acquis, ise, *part.* κτηθείς, εῖσα, έν. — par quelqu'un, τινί. Cet homme m'est tout acquis, οὗτος ἐμοὶ ᾠκείωται (οἰκειόω, ῶ, *fut.* ώσω).

ACQUÊTS, *s. m. pl.* τὰ κτητά, ῶν.

ACQUIESCEMENT, *s. m.* συγκατάθεσις, εως (ἡ). Acquiescement aux volontés de quelqu'un, ἡ πρός τινα εὐπείθεια, ας. Donner son acquiescement à... συγκατα-τίθεμαι, *fut.* θήσομαι, *dat.* Le refuser, ἀπειθέω, *fut.* ήσω, *dat.*

ACQUIESCER, *v. n.* συγκατα-τίθεμαι, *fut.* θήσομαι, *dat.* : συγκατ-αινέω, ῶ, *fut.* αινέσω, *dat.* Acquiescer aux propositions, τοῖς παρα-καλουμένοις συγκάταινος γίνομαι, *fut.* γενήσομαι, *Dém.*

ACQUISITION, *s. f. l'action d'acquérir*, κτῆσις, εως (ἡ). || *La chose acquise*, κτῆμα, ατος (τὸ). Faire des acquisitions, *voyez* Acquérir.

ACQUIT, *s. m.* ἔκτισις, εως (ἡ). || Pour l'acquit de sa conscience, par manière d'acquit, ἀφοσιώσεως χάριν, πρὸς ἀφοσίωσιν. Faire quelque chose pour l'acquit de sa conscience *ou* par manière d'acquit, ἀφ-οσιόομαι, οῦμαι, *fut.* οσιώσομαι, *acc. Plut.*

ACQUITTER, *v. a.* ἀπο-λύω, *fut.* λύσω, *acc.* Acquitter un accusé, τῆς αἰτίας τινὰ ἀπο-λύω, *fut.* λύσω, *ou* ἀφ-ίημι, *fut.* ἀφ-ήσω. Acquitter une promesse, τὴν ὑπόσχεσιν ἐπι-τελέω, ῶ, *fut.* τελέσω. Acquitter sa conscience, ἀφ-οσιόομαι, οῦμαι, *fut.* οσιώσομαι. Acquitter une dette, *ou* s'acquitter d'une dette, τὸ χρέος ἐκ-τίνω, *fut.* τίσω. S'acquitter d'un vœu, τὴν εὐχὴν ἀπο-δίδωμι, *fut.* δώσω. S'acquitter d'un devoir, τὸ καθῆκον ἀπο-τελέω, ῶ, *fut.* τελέσω. Se bien acquitter d'un ouvrage, τὸ ἔργον εὖ ἐπι-τελέω, ῶ. S'acquitter d'une charge, λειτουργίαν λειτουργέω, ῶ, *fut.* ήσω. — d'une ambassade, πρεσβείαν πρεσβεύω, *fut.* εύσω.

ACRE, *s. f. mesure de terre*, τὸ πλέθρον, ου.

ACRE, *adj. qui a de l'âcreté*, δριμύς, εῖα, ύ (*comp.* ύτερος, *sup.* ύτατος).

ACRETÉ, *s. f.* **ACRIMONIE**, *s. f.* δριμύτης, ητος (ἡ).

ACRIMONIEUX, EUSE, *adj.* δριμύς, εῖα, ύ (*comp.* ύτερος, *sup.* ύτατος).

ACROSTICHE, *s. m.* ἀκροστιχίς, ίδος (ἡ).

ACROTÈRES, *s. m. pl.* ἀκρωτήρια, ων (τὰ).

ACTE, *s. m. action*, ἔργον, ου (τὸ) : πρᾶξις, εως (ἡ). Faire un acte glorieux, κάλλιστον ἔργον ἐργάζομαι, *fut.* ἐργάσομαι. Acte de sagesse, σωφρόνημα, ατος (τὸ). Acte d'audace, τόλμημα, ατος (τὸ). *On forme ainsi un très-grand nombre de substantifs. On peut aussi tourner par l'adj. neut.* Cet acte de sagesse, τὸ σοφὸν τοῦτο, *Dém. ou par le participe neutre :* Actes d'administration, τὰ πεπολιτευμένα, *Dém.* || *Écrit public*, γραφή, ῆς (ἡ) : γράμματα, ων (τὰ). Prendre acte de... ἀπογράφομαι, *fut.* γράψομαι, *acc.* Le lieu où l'on garde les actes, τὸ γραμματοφυλάκιον, ου. || *Thèse publique*, ἐπίδειξις, εως (ἡ). || *Partie d'une pièce de théâtre*, ἐπεισόδιον, ου (τὸ), *Aristt.* : πρᾶξις, εως (ἡ), *G. M.*

ACTEUR, *s. m. qui joue sur un théâtre*, ὑποκριτής, οῦ (ὁ). Acteur tragique, τραγῳδός, οῦ (ὁ). — comique, κωμῳδός, οῦ (ὁ). || *Qui prend part à une action*, ὁ μετ-έχων, οντος (*partic. de* μετ-έχω, *fut.* μεθ-έξω), *gén.* Il était le principal acteur dans cette affaire, πλεῖστον μετεῖχε τοῦ πράγματος.

ACTIF, IVE, *adj.* ἐνεργός, ός, όν (*comp.* ότερος *ou* έστερος, *sup.* ότατος *ou* έστατος). Homme actif en toutes choses, ἀνὴρ ἐπὶ πάντα ὀξύς. Prendre une part active à... πλεῖστον μετ-έχω, *fut.* μεθ-έξω, *gén.* || La vie active, ὁ πρακτικὸς βίος, ου. Philosophie active, ἡ πρακτικὴ φιλοσοφία, ας. || Actif, *en t. de gramm.* ἐνεργητικός, ή, όν.

ACTION, *s. f. activité, mouvement*, ἐνέργεια, ας (ἡ). Sans action, ἀργός, ός, όν. Qui est en action, ἐνεργός, ός, όν. Vie pleine d'action, βίος ἐνεργός *ou* πρακτικός, οῦ (ὁ). || Parler avec action, δια-τείνομαι, *fut.* τενοῦμαι.

ACTION, *geste, débit*, ὑπόκρισις, εως (ἡ). Le talent de l'action, ἡ ὑποκριτικὴ δύναμις, εως. Action animée, ἡ ἐνεργὸς ὑπόκρισις, εως. — languissante, ἡ ἀσθενὴς ὑπόκρισις, εως. Orateur sans action, ῥήτωρ ἀνυπόκριτος, ου (ὁ).

ACTION, *tout ce qui se fait*, ἔργον, ου (τὸ) : πρᾶξις, εως (ἡ). Faire une mauvaise *ou* une bonne action, φαῦλόν τι, καλόν τι πράσσω, *fut.* πράξω. (*On sous-entend* ἔργον.) Il a fait beaucoup de belles actions, πολλὰ καλὰ κατώρθωσε (κατ-ορθόω, ῶ, *fut.* ώσω), *Dém.* Se distinguer par ses belles actions, λόγου ἄξια ἔργα ἀπο-δείκνυμαι, *fut.* δείξομαι, *Hérodt.* Il n'a fait aucune action célèbre, οὐδὲν μέγα ἔργον ἀπ' αὐτοῦ ἐγένετο (γίνομαι, *fut.* γενήσομαι), *Hérodn.* Les actions de quelqu'un, τά τινι πεπραγμένα (πράσσω, *fut.* πράξω). Ses actions les plus brillantes, τὰ σεμνότατα τῶν ὑπ' ἐκείνου πεπραγμένων. Le monde loue toutes vos actions, ἅπαν ὅ,τι ἂν σὺ πράξῃς, ἐπ-αινοῦσι (ἐπ-αινέω, ῶ, *fut.* αινέσω). Ne cachez aucune de vos actions, μηδὲν ἀπό-κρυπτε, ὧν ἂν ποιήσῃς (ἀπο-κρύπτω, *fut.* κρύψω : ποιέω, ῶ, *fut.* ήσω). Ils se sont distingués par des actions plus grandes et plus honorables, μείζω καὶ πλείονος ἄξια κατ-ειργάσαντο (κατ-εργάζομαι, *fut.* εργάσομαι), *Isocr.* Action injuste, ἀδίκημα, ατος (τὸ). Action impie, ἀσέβημα, ατος (τὸ). *Et ainsi de beaucoup d'autres substantifs.*

ACTION, *combat*, μάχη, ης (ἡ) : συμβολή, ῆς (ἡ). Engager l'action, εἰς μάχην συμ-βάλλω, *fut* βαλῶ. — avec quelqu'un, τινί. Il s'engagea une action, μάχη ἐγένετο (γίνομαι, *fut.* γενήσομαι). — entre eux, αὐτοῖς. L'action fut fort chaude, καρτερὰν τὴν μάχην ἐποιήσαντο (ποιέομαι, οῦμαι, *fut.* ήσομαι).

ACTION, *poursuite en justice, au criminel*, γραφή, ῆς (ἡ). Intenter une action à quelqu'un, γραφήν τινι εἰσ-φέρω, *fut.* οἴσω : τινὰ γράφομαι, *fut.* γράψομαι : τινὰ διώκω, *fut.* διώξομαι. — pour un meurtre, φόνου. — pour des injures, ὕβρεως. || *Poursuites en matière civile*, δίκη, ης (ἡ) Avoir action contre quelqu'un, πρός τινα δίκην λαγχάνω, *fut.* λήξομαι. Intenter une action, *en ce sens*, δίκην τινὶ γράφω, *fut.* γράψω.

ACTION, *fable d'un poème*, μῦθος, ου (ὁ). Que l'action soit une et entière, δεῖ τὸν μῦθον ἕν τι καὶ ὅλον γίνεσθαι (γίνομαι, *fut.* γενήσομαι), *Aristt.*

ACTION, *part dans une société de commerce*, μοῖρα, ας (ἡ). Avoir une action dans une société, συμμορίας τινὸς μετ-έχω, *fut.* μεθ-έξω.

ACTIONS de grâces, χαριστήρια, ων, (τὰ), *Hérodn.* Offert en actions de grâces, χαριστήριος, ος, ον, *Phil.* Discours prononcé en actions de grâces, χαριστήριος λόγος, ου (ὁ), *Jul.* Offrir aux dieux un sacrifice d'actions de grâces, χαριστήρια τοῖς θεοῖς ἀπο-τελέω, ῶ, *fut.* τελέσω, *Xén. ou* θύω, *fut.* θύσω, *Arr.* Rendre des actions de grâces, εὐχαριστέω, ῶ, *fut.* ήσω, *Dém.* — à quelqu'un, τινί. *Voyez* GRACES.

ACTIONNER, *v. a. poursuivre en justice*, διώκω, *fut.* διώξομαι, *acc.*

ACTIVEMENT, *adv. d'une manière active*, ἐνεργῶς. || *Dans un sens actif*, ἐνεργητικῶς.

ACTIVITÉ, *s. f. vertu d'agir*, ἐνέργεια, ας (ἡ). **Le poison a une grande activité**, ἐνέργεια μεγάλη τῷ φαρμάκῳ πρόσ-εστι (πρόσ-ειμι, *fut.* ἔσομαι). || *Ardeur, zèle*, σπουδή, ῆς (ἡ). **Il met la plus grande activité**, σπουδὴν ποιεῖται πᾶσαν (ποιέομαι, οῦμαι, *fut.* ήσομαι). — **à quelque chose**, περί τι *ou* ἐπί τινι. — **à faire quelque chose**, ὅπως τι πράξῃ *ou* ὥστε τι πρᾶξαι. **Ils travaillent avec la plus grande activité à s'enrichir**, πλείστην ποιοῦνται σπουδήν, ὥστε χρημάτων τυχεῖν (τυγχάνω, *fut.* τεύξομαι). **Poursuivre une chose avec activité**, πράγματι ἔγκειμαι *ou* πρόσ-κειμαι, *fut.* κείσομαι.

ACTUEL, ELLE, *adj. réel, effectif*, ἀληθής, ής, ές. **Les choses actuelles**, *les réalités*, τὰ ὡς ἀληθῆ, ῶν : τὰ ὄντα *ou* τὰ ἔργῳ ὄντα, ων (*part. neutre d'*εἰμί, *fut.* ἔσομαι). || *Présent*, παρ-ών, οῦσα, όν (*part. prés. de* πάρ-ειμι, *fut.* ἔσομαι). **Les circonstances actuelles**, τὰ παρ-όντα πράγματα, ων, *Dém.*

ACTUELLEMENT, *adv. réellement*, ὄντως : τῷ ὄντι : ἔργῳ *ou* τῷ ἔργῳ. || *Présentement*, ἐν τῷ παρ-όντι : νῦν : τὰ νῦν : τὸ νῦν εἶναι.

ADAGE, *s. m.* παροιμία, ας (ἡ)

ADAPTER, *v. a.* προσ-αρμόζω *ou* προσ-αρμόττω, *fut.* αρμόσω, *acc.* — **les lois aux mœurs**, τοὺς νόμους τοῖς ἤθεσι. **Cela n'est pas adapté au sujet**, οὐκ εὐαρμόστως ἔχει τοῦτο πρὸς τὴν ὑπόθεσιν (ἔχω, *fut.* ἕξω). **Exorde qui peut s'adapter à plusieurs sujets**, προοίμιον εἰς πολλοὺς λόγους εὔχρηστον, ου (τὸ).

ADDITION, *s f. action d'ajouter*, πρόσθεσις, εως (ἡ). || *Ce qu'on ajoute*, προσθήκη, ης (ἡ). || *Règle d'arithmétique*, σύναψις, εως (ἡ), *G. M.*

ADDITIONNEL, ELLE, *adj.* πρόσθετος, ος, ον.

ADDITIONNER, *v. a.* συν-τίθημι, *fut.* συν-θήσω, *Eucl.* : συν-άπτω, *fut.* συν-άψω, *G. M.* **Nombres additionnés**, οἱ συγ-κείμενοι ἀριθμοί, ῶν (σύγ-κειμαι, *fut.* κείσομαι), *Eucl.*

ADEPTE, *s. m. et f. initié*, μεμυημένος, η, ον (*partic. parf. passif de* μυέω, ῶ). || *Sectateur*, αἱρέτης, ου (ὁ) : *au fém.* αἱρέτις, ιδος (ἡ).

ADHÉRENCE, *s. f.* πρόσφυσις, εως (ἡ).

ADHÉRENT, ENTE, *adj. attaché à...*, προσ-φυσικός, ή, όν ... (*part. parf. de* προσ-φύομαι), *dat.* || **Les adhérents de Philippe**, *ses partisans*, οἱ τὰ Φιλίππου φρονοῦντες (*part. de* φρονέω, ῶ, *fut.* ήσω), *Dém.*

ADHÉRER, *v. n. être attaché, au propre*, προσ-φύομαι, *fut.* φύσομαι, *dat.* || *Au fig. s'unir de sentiment à*, προσ-τίθεμαι, *fut.* θήσομαι, *dat.*

ADHÉSION, *s. f. adhérence, jonction*, πρόσφυσις, εως (ἡ). || *Consentement*, συγκατάθεσις, εως (ἡ). **Donner son adhésion à un traité**, ὁμολογίαις προσ-τίθεμαι *ou* συγκατα-τίθεμαι, *fut.* θήσομαι.

ADIEU, *interj. en parlant à une seule personne*, χαῖρε (*impér. de* χαίρω). *En parlant à plusieurs*, χαίρετε. *On emploie aussi l'opt.* χαίροις, *pl.* χαίροιτε. *Au bas d'une lettre*, ἔρρωσο, *pl.* ἔρρωσθε (*impér. parf. passif. de* ῥώννυμι). || **Les adieux**, *la dernière entrevue*, ἡ ὑστάτη ἔντευξις, εως. **Les adieux**, *ou* **paroles d'adieux**, οἱ προπεμπτήριοι λόγοι, ων. **Compliment d'adieu**, τὸ προπεμπτικόν, οῦ. **Sans se dire adieu**, οὐδὲ χαίρειν εἰπόντες ἀλλήλοις (εἶπον, *aor. irrég. de* λέγω). **Dire adieu** *ou* **faire ses adieux à quelqu'un**, χαίρειν τινὶ λέγω, *fut.* λέξω *ou* ἐρῶ : χαίρειν τινὶ φράζω, *fut.* φράσω : τινὶ ἀπο-τάσσομαι, *fut.* τάξομαι, *Bibl.* || *Au fig.* **Adieu, lumière chérie**, χαῖρε, φίλον φῶς, *Anthol.* **Adieu tous les projets**, χαιρέτω βουλεύματα, *Eurip.* **Dire adieu aux plaisirs**, πολλὰ χαίρειν τὰς ἡδονὰς κελεύω, *fut.* εύσω : μακρὰν χαίρειν ταῖς ἡδοναῖς φράζω, *fut.* φράσω, *Luc.* : τὰς ἡδονὰς χαίρειν ἐάω, ῶ, *fut.* ἐάσω, *Plat.* **Dire adieu au monde**, τῷ κόσμῳ ἀπο-τάσσομαι, *fut.* τάξομαι, *Basil.*

ADIPEUX, EUSE, *adj.* στεατώδης, ης, ες.

ADJACENT, TE, *adj.* προσ-κείμενος, η, ον. **Être adjacent**, πρόσ-κειμαι, *fut.* κείσομαι, *dat.*

ADJECTIF, *s. m.* ἐπίθετον, ου (τὸ).

ADJECTIVEMENT, *adv.* ἐπιθέτου δίκην.

ADJOINDRE, *v. a.* προσ-τίθημι, *fut.* θήσω, *acc.* : προσ-άπτω, *fut.* άψω, *acc.* **Je vous l'adjoindrai pour vos travaux**, κοινωνόν σοι τῶν πόνων αὐτὸν ποιήσω (ποιέω, ῶ, *fut.* ήσω). **S'adjoindre une personne**, ἐμαυτῷ τινα προσ-αιρέομαι, οῦμαι, *fut.* αιρήσομαι. — **pour une affaire**, εἴς τι πρᾶγμα.

ADJONCTION, *s. m.* προσαίρεσις, εως (ἡ).

ADJOINT, *s. m.* συνεργός, οῦ (ὁ). — **dans une charge**, πάρεδρος, ου (ὁ).

ADJUDICATAIRE, *s. m.* ὁ ἐπι-δεδικασμένος *ou* ἐπι-δικασάμενος (*part. moy. d'*ἐπι-δικάζω, *fut.* άσω). — **d'une portion d'héritage**, κλήρου, *Dém.*

ADJUDICATION, *s. f.* ἐπιδικασία, ας (ἡ).

ADJUGER, *v. a.* ἐπι-δικάζω, *fut.* άσω, *acc.* Il adjugea l'héritage aux adversaires, τοῖς ἀντιδίκοις ἐπ-εδίκασε τὸν κλῆρον, *Dém.* Se faire adjuger un héritage, κλήρου ἐπι-δικάζομαι, *fut* άσομαι, *Dém.* On lui a adjugé gain de cause, τὴν δίκην ᾕρηκε (αἱρέω, ῶ, *fut.* αἱρήσω), *Dém.*

ADJURATION, *s. f.* ἐξορκισμός, οῦ (ὁ).

ADJURER, *v. a.* ἐξ-ορκίζω, *fut.* ίσω, *acc*

ADMETTRE, *v. a.* προσ-δέχομαι, *fut.* δέξομαι, *acc.* : προσ-ίεμαι, *fut.* προσ-ήσομαι, *acc* Admis, ise, προσ-δεχθείς *ou* προσ-εθείς, εῖσα, έν. Être admis, προσ-δεχθῆναι *ou* προσ-εθῆναι. Admettre dans sa maison, εἰς τὴν οἰκίαν ἀπο-δέχομαι, *fut.* δέξομαι, *ou* ἀνα-λαμβάνω, *fut.* λήψομαι, *acc.* Admettre à un festin, ἑστιάσει ἀνα-λαμβάνω, *fut.* λήψομαι, *acc.* Admettre quelqu'un au partage d'une chose, τινός τινι μετα-δίδωμι, *fut.* δώσω. (*On met le nom de la personne au datif et celui de la chose au génitif.*) Être admis au partage, μετα-λαμβάνω, *fut.* λήψομαι, *gén.* Admettre quelqu'un dans son amitié, τῆς φιλίας τινὶ μετα-δίδωμι, *fut.* δώσω. Y être admis, τῆς φιλίας μετ-έχω, *fut.* μεθ-έξω. Être admis dans une maison, *y avoir ses entrées*, εἴς τινα οἰκίαν πρόσοδον ἔχω, *fut.* ἕξω.|| Admettre dans un corps, ἐγ-κρίνω, *fut.* κρινῶ, *acc.* Être admis, ἐγ-κρίνομαι, *fut.* κριθήσομαι. — dans le conseil des anciens, εἰς τὴν γερουσίαν, *Dém.* Ils admirent les dieux étrangers au nombre des autres, τοὺς ἐπήλυδας θεοὺς μετὰ τῶν ἄλλων ἐν-έκριναν, *Aristid.* Il faut admettre les uns et rejeter les autres, τοὺς μὲν ἐγ-κριτέον, τοὺς δὲ ἀπο-κριτέον, *Plat.* Admettre au nombre des citoyens, εἰς πολιτείαν ἐγ-γράφω, *fut.* γράψω, *acc.* || Admettre une loi, νόμον ψηφίζομαι *ou* ἐπι-ψηφίζομαι, *fut.* ίσομαι. || Admettre une excuse, *s'en contenter*, πρόφασιν ἀπο-δέχομαι, *fut.* δέξομαι. || Faute qui n'admet point d'excuse, ἁμάρτημα ἀναπολόγητον, ου (τὸ). Cette affaire n'admet point de retardement, τὸ πρᾶγμα μέλλησιν οὐκ ἀνα-δέχεται (ἀνα-δέχομαι, *fut.* δέξομαι), *Phil.*

ADMINISTRATEUR, *s. m. préposé pour régir*, διοικητής, οῦ (ὁ). || *Celui qui prend part au gouvernement*, ὁ πολιτευόμενος, ου (*partic. de* πολιτεύομαι, *fut.* εύσομαι).

ADMINISTRATIF, IVE, *adj.* διοικητικός, ή, όν.

ADMINISTRATION, *s. f.* διοίκησις, εως (ἡ). Avoir l'administration de, δι-οικέω, ῶ, *fut.* ήσω, *acc.* L'administration de la république, ἡ πολιτεία, ας. Se mêler de l'administration de la république, τῶν κοινῶν ἀντι-λαμβάνομαι, *fut.* λήψομαι.

ADMINISTRER, *v. a. régir*, δι-οικέω, ῶ, *fut.* ήσω, *acc.* Administrer la justice, δικαιοδοτέω, *fut.* ήσω. || *Fournir*, παρ-έχω, *fut.* ἕξω, *ou* παρ-έχομαι, *fut.* ἕξομαι, *acc.* — une preuve, un témoignage, ἔλεγχον, μαρτυρίαν. || Administrer les sacrements à un malade, *ou simplement* l'administrer, τῷ νοσοῦντι τῶν ἱερῶν μεταδίδωμι, *fut.* δώσω.

ADMIRABLE, *adj.* θαυμαστός, ή, όν (*comp.* ότερος, *sup.* ότατος) : θαυμάσιος, ος *ou* α, ον (*comp.* ώτερος, *sup.* ώτατος). Doué d'une éloquence admirable, τῆς εὐεπείας θαυμαστός, ή, όν. Femme d'une beauté admirable, θαυμάσιόν τι χρῆμα γυναικός. Admirable à voir, à entendre, θαυμαστὸς ἰδεῖν, ἀκοῦσαι. Chose admirable, θαῦμα, ατος (τὸ). La chose la plus admirable qu'il y ait au monde, θαῦμα πάντων μέγιστον, ου.

ADMIRABLEMENT, *adv.* θαυμαστῶς : θαυμασίως.

ADMIRATEUR, *s. m.* θαυμαστής, οῦ (ὁ). Admiratrice, *s. f.* ἡ θαυμάζουσα, ης (*partic. de* θαυμάζω, *fut.* άσομαι). Nous sommes admirateurs de ce qui est loin de nous, τῶν ἀπ-όντων θαυμαστικοί ἐσμεν (εἰμί, *fut.* ἔσομαι).

ADMIRATIF, IVE, *adj.* θαυμαστικός, ή, όν.

ADMIRATION, *s. f.* θαῦμα, ατος (τὸ). Avoir en admiration, διὰ θαύματος ἔχω, *fut.* ἕξω, *acc.* Digne d'admiration, θαύματος ἄξιος, α, ον. Être l'objet de l'admiration de quelqu'un, διὰ θαύματος εἶναί τινι. Exciter l'admiration générale, πάντας εἰς θαῦμα κινέω, ῶ, *fut.* ήσω. Être frappé d'admiration, ἐκ-πλήσσομαι, *fut.* πλαγήσομαι. — à la vue de quelque chose, τί *ou* πρός τι. || Sujet d'admiration, θαῦμα, ατος (τὸ). Le plus grand sujet d'admiration pour moi, c'est que... θαῦμα δέ μοι τοῦτο μέγιστον : ἐν τοῦτο μάλιστα πάντων ἐθαύμασα (*aor. de* θαυμάζω), ὅτι... *Voyez* Admirer.

ADMIRER, *v. a.* θαυμάζω, *fut.* θαυμάσομαι, *acc. ou génit.* : ἄγαμαι, *fut.* ἀγάσομαι, *acc. ou génit.* — la sagesse de quelqu'un, *tournez*, admirer quelqu'un à cause de sa sagesse, τινὰ σοφίας *ou* ἐπὶ σοφίᾳ θαυμάζω. J'admire profondément Homère, τεθαύμακα τὸν Ὅμηρον. Qui n'admirerait leur vertu? τίς οὐκ ἂν ἀγάσαιτο

τούτων τῆς ἀρετῆς; On ne peut le voir sans l'admirer, οὐδεὶς ὅστις ἰδὼν οὐκ ἂν τοῦτον ἐκπλαγείη (ἐκ-πλήσσομαι, *fut.* πλαγήσομαι). Ce que j'admire le plus, c'est que... ἐν μάλιστα ἐθαύμασα (*aor. de* θαυμάζω), ὅτι... Ce que le vulgaire admire, πρὸς ἃ ἄνθρωποι ἐπτόηνται (πτοέομαι, οῦμαι, *fut.* πτοηθήσομαι). S'admirer à cause de sa beauté, ἐπὶ τῷ κάλλει μέγα φρονέω, ῶ, *fut.* ήσω.

ADMISSIBLE, *adj.* δεκτός, ή, όν : προσδεκτός, ή, όν. Excuse admissible, πρόφασις *ou* σκῆψις εὔλογος, ου (ἡ).

ADMISSION, *s. f.* ἀποδοχή, ῆς (ἡ). Admission dans un corps, ἔγκρισις, εως (ἡ). Son admission souffrit des difficultés, μόλις ἐνεκρίθη (ἐγ-κρίνω, *fut.* κρινῶ).

ADMONÉTER, *v. a.* νουθετέω, ῶ, *fut.* ήσω, *acc.*

ADMONITEUR, *s. m.* ὁ νουθετῶν, οῦντος, (*part. de* νουθετέω, ῶ, *fut.* ήσω).

ADMONITION, *s. f.* νουθέτησις, εως (ἡ) : νουθεσία, ας (ἡ).

ADOLESCENCE, *s. f.* ἐφηβία, ας (ἡ). Dès la première adolescence, ἐξ ἐφήβων. Passer de l'enfance à l'adolescence, ἐκ παίδων εἰς μειράκιον μετ-έρχομαι, *fut.* ἐλεύσομαι. *Phil.* : εἰς τοὺς ἐφήβους κρίνομαι, *fut.* κριθήσομαι *Luc.* : μειρακιόομαι, οῦμαι, *fut.* ωθήσομαι, *Phil.*

ADOLESCENT, *s. m.* ἔφηβος, ου (ὁ). Jeune adolescent, μειράκιον, ου (τὸ).

ADOLESCENTE, *s. f.* μεῖραξ, ακος (ἡ).

s'ADONISER, *v. r.* καλλωπίζομαι, *fut.* ίσομαι.

s'ADONNER, *v. r.* ἐμαυτὸν ἐπι-δίδωμι, *fut.* δώσω, *dat.* S'adonner à l'étude de la philosophie, περὶ τὴν φιλοσοφίαν σπουδάζω, *fut.* άσομαι. Ceux qui s'adonnent à l'éloquence, οἱ περὶ τοὺς λόγους δια-τρίβοντες (δια-τρίβω, *fut.* τρίψω). On dit qu'il s'adonna sérieusement à l'étude de la musique, μουσικὴν δια-πονηθῆναι αὐτόν φασι (δια-πονέομαι, οῦμαι, *fut.* ήσομαι), *Plut.* Adonné au jeu, κυβευτικός, ή, όν. — à la chasse, θηρατικός, ή, όν. *On forme ainsi du futur passif des verbes un grand nombre d'adjectifs :* ὀρχηστικός, ἐριστικός, *etc.* Adonné au vin, φίλοινος, ος, ον. — à l'étude, φιλόμουσος, ος, ον. *Beaucoup de mots se composent de la même manière, comme* φιλόπονος, φιλάρετος, *etc.*

ADOPTER, *v. a.* — pour fils, υἱὸν ποιέομαι, οῦμαι, *fut.* ήσομαι, *Dém.* : υἱὸν τίθεμαι, *fut.* θήσομαι, *App.* Il l'adopta pour mère, μητέρα αὐτὴν ἐποιήσατο, *Plut.* Ayant été adopté par Pandion, θετὸς γενόμενος Πανδίονι (γίνομαι, *fut* γενήσομαι), *Plut.* Donner à quelqu'un un fils en adoption, παῖδά τινι εἰσ-ποιέω, ῶ, *fut.* ήσω, *Dém.* ‖ Adopter des mœurs étrangères, ξενικοὺς τρόπους προ-αιρέομαι, οῦμαι, *fut.* αιρήσομαι. Adopter le sentiment de quelqu'un, τινὸς γνώμῃ προσ-τίθεμαι, *fut.* θήσομαι. Je n'adopte pas leurs sentiments, οὐ τούτοις συμφέρομαι, *fut.* συν-ενεχθήσομαι.

ADOPTIF, IVE, *adj.* θετός, ή, όν, *Plut.* : ποιητός, ή, όν, *Dém.* : εἰσποιητός, ή, όν, *Dém.* Les fils adoptifs prennent le nom de ceux qui les ont adoptés, οἱ θετοὶ τὰ θεμένων ὀνόματα ἐπι-λαμβάνουσι (τίθεμαι, *fut.* θήσομαι : ἐπι-λαμβάνω, *fut.* λήψομαι), *App.*

ADOPTION, *s. f.* — *d'un enfant*, εἰσποίησις, εως, (ἡ), *Dém.* : υἱοθεσία, ας (ἡ), *Bibl.* Père *ou* fils par adoption, *voyez* ADOPTIF. ‖ *Choix, préférence*, προαίρεσις, εως (ἡ). *Tournez par le verbe* ADOPTER.

ADORABLE, *adj. digne d'être adoré*, προσκυνητός, ή, όν, *Grég.* : πάσης λατρείας ἄξιος, α, ον : ὁσιώτατος, η, ον (*superl. de* ὅσιος, α, ον). ‖ *Très-aimable*, ἐρασμιώτατος, η, ον (*superl. d'*ἐράσμιος, ος, ον).

ADORATEUR, TRICE, *s. m. et f.* λατρευτής, οῦ (ὁ) : *au fém.* ἡ λατρεύουσα, ης (*partic. de* λατρεύω, *fut.* εύσω), *dat.* Les adorateurs du vrai Dieu, οἱ τῷ ὄντως Θεῷ λατρεύοντες, ων. ‖ *Amant passionné*, ἐραστής, οῦ (ὁ).

ADORATION, *s. f. prosternement*, προσκύνησις, εως (ἡ). ‖ *Culte*, λατρεία, ας (ἡ). ‖ *Au fig.* Aimer jusqu'à l'adoration, ὑπερ-φιλέω, ῶ, *fut.* ήσω, *acc.*

ADORER, *v. a. se prosterner devant*, προσκυνέω, ῶ, *fut.* προσ-κυνήσω. *acc. ou dat.* ‖ *Honorer d'un culte religieux*, λατρεύω, *fut.* εύσω, *dat.* ‖ *Aimer éperdument*, ὑπερ-φιλέω, ῶ, *fut.* ήσω, *acc.* *Xén.* : ὑπερ-αγαπάω, ῶ, *fut.* ησω, *Hérodn.*

ADOSSER, *v. a.* ἐπ-ερείδω *ou* προσ-ερείδω, *fut.* ερείσω, *acc.* — contre quelque chose, τινί. S'adosser contre un mur, τῷ τοίχῳ ἐπ-ερείδομαι. Ville adossée à une colline, πόλις γεωλόφῳ προσ-κειμένη, ης (*part. de* πρόσ-κειμαι. *fut.* κείσομαι).

ADOUCIR, *v. a. rendre plus doux au goût*, ἀπο-γλυκαίνω, *fut.* ανῶ, *acc.* ‖ *Rendre plus facile*, ἀν-ίημι, *fut.* ἀν-ήσω, *acc.* Adoucir un chemin, ὁδὸν λεαίνω, *fut.* ανῶ. ‖ *Rendre moins âpre*, ἀν-ίημι, *fut.* ἀν-ήσω, *acc.* — l'air

de son visage, τὸ πρόσωπον. — la température de l'air, τὴν τοῦ ἀέρος κρᾶσιν. || *Au fig.* Adoucir les mœurs, τοὺς τρόπους ἡμερόω, ῶ, *fut.* ώσω. J'adoucirai son humeur par ma patience, πρᾳότερον αὐτὸν ποιήσω τῇ μακροθυμίᾳ (ποιέω, ῶ, *fut.* ήσω). || Adoucir les couleurs, τὰ χρώματα δια-βρέχω, *fut.* βρέξω.

Adoucir, *apaiser*, πραΰνω ou κατα-πραΰνω, *fut.* υνῶ, *acc.* : κηλέω, ῶ, *fut.* ήσω, *acc.* : θέλγω, *fut.* θέλξω, *acc.* : ἡμερόω, ῶ, *fut.* ώσω, *acc.* Adoucir les esprits, τοὺς ὀργισθέντας θυμοὺς κατα-πραΰνω, *fut.* υνῶ. Je parvins à l'adoucir, ἐξ-ιλασάμην ποτὲ αὐτὸν (ἐξ-ιλάσκομαι, *fut.* ιλάσομαι). || *Alléger, soulager*, ἀν-ίημι, *fut.* ἀν-ήσω, *acc.* : κουφίζω ou ἐπι-κουφίζω, *fut.* ίσω, *acc.* Adoucir le malheur des autres, τὰς τῶν ἄλλων συμφορὰς κουφίζω. Adoucir les peines de l'absence, τὴν ἐρημίαν κηλέω, ῶ, *fut.* ήσω.

ADOUCISSANT, ANTE, *adj.* μαλακτικός, ή, όν.

ADOUCISSEMENT, *s. m.* ἄνεσις, εως (ἡ). — de la température, τοῦ ἀέρος. — de la voix, τῆς φωνῆς. — de la loi, τοῦ νόμου. Adoucissement à la rigueur des châtiments, ἡ τῶν τιμωριῶν ἄνεσις ou ἐπικούφισις, εως. Adoucissement des teintes, *en t. de peint.* ἡ τῶν χρωμάτων φθορά, ᾶς, *Plut.*

ADRAGANT, *s. m. gomme*, τραγάκανθα, ης (ἡ), *Luc.*

ADRESSE, *s. f. dextérité*, δεξιότης, ητος (ἡ). — à faire quelque chose, περί τι. Avec adresse, δεξιῶς. Qui manque d'adresse, ἀδέξιος, ος, ον : σκαιός, ά, όν. Adresse des mains, εὐχειρία, ας (ἡ). Tour d'adresse, εὐχειρίας ἔργον, ου (τὸ). || *Ruse, artifice*, τέχνη, ης (ἡ) : δόλος, ου (ὁ). User d'adresse, δόλῳ χράομαι, ῶμαι, *fut.* χρήσομαι. Vaincre par adresse, δόλῳ κρατέω, ῶ, *fut.* ήσω. Jouer quelqu'un d'adresse, τινὰ παρα-κρούομαι, *fut.* κρούσομαι, *Dém.*

Adresse *d'une lettre*, ἐπιγραφή, ῆς (ἡ). Mettre l'adresse à une lettre, ἐπιστολήν τινι ἐπι-γράφω, *fut.* γράψω. Lettre sans adresse, ἡ ἀνεπίγραφος ἐπιστολή, ῆς. || *Lieu où quelqu'un demeure*, οἰκία, ας (ἡ). Donner l'adresse de quelqu'un, οἰκίαν τινὸς σημαίνω, *fut.* ανῶ.

ADRESSER, *v. n. toucher le but*, τυγχάνω ou ἐπι-τυγχάνω, *fut.* τεύξομαι, *gén.* Il a su adresser au but, τοῦ σκοποῦ ἔτυχε. Ne pas adresser, ἀπο-τυγχάνω, *fut.* τεύξομαι, *gén.* Il n'y a pas adressé, τοῦ σκοποῦ ἀπ-έτυχε. Bien adresser, εὐστοχέω, ῶ, *fut.* ήσω.

Adresser, *envoyer*, πέμπω ou δια-πέμπω, *fut.* πέμψω, *acc.* : στέλλω ou ἐπι-στέλλω, *fut.* στελῶ, *acc.* — quelqu'un ou quelque chose, τινά ou τι. — à quelqu'un, πρός τινα. || Adresser une lettre à quelqu'un, *y mettre l'adresse*, ἐπιστολήν τινι ἐπι-γράφω, *fut.* γράψω. || Adresser des vœux, des prières, εὐχάς, δεήσεις τινὶ ποιέομαι, οῦμαι, *fut.* ήσομαι. Adresser des remercîments, χαριστήριά τινι ἀνα-φέρω, *fut.* ἀν-οίσω. Adresser des plaintes à quelqu'un, πρός τινα μέμφομαι, *fut.* μέμψομαι. Les plaintes que je lui ai adressées, ἃ πρὸς αὐτὸν ἐμεμψάμην. Adresser la parole à quelqu'un, τινὰ προσ-αγορεύω, *fut.* αγορεύσω ou ἐρῶ. Il ne lui adressa pas même la parole, οὐδ' αὐτὸν προσ-εφθέγξατο (φθέγγομαι, *fut.* φθέγξομαι).

S'adresser, *v. r. aller trouver*, προσ-έρχομαι, *fut.* ελεύσομαι, *dat.* || *Adresser la parole*, προσ-αγορεύω, *fut.* αγορεύσω ou ἐρῶ, *acc.* : προσ-φωνέω, ῶ, *fut.* ήσω, *acc.* — à quelqu'un, τινά. || *Se rapporter à*, προσ-ήκω, *fut.* ήξω, *dat.* : ἀπο-βλέπω, *fut.* βλέψω, *avec* εἰς ou πρός *et l'acc.* Ce discours s'adresse à vous, ὁ λόγος εἰς σὲ ἀπο-βλέπει. Cette fable s'adresse à ceux, etc. ὁ μῦθος πρὸς τοὺς... (*sous-ent.* γέγραπται, *de* γράφω). Je lui apprendrai à qui il s'adresse, *tournez* qui je suis, διδαχθείη ἂν ὑπ' ἐμοῦ ὅστις εἰμί (διδάσκω, *fut.* διδάξω).

ADROIT, OITE, *adj.* δεξιός, ά, όν (*comp.* ώτερος, *sup.* ώτατος). Adroit à faire quelque chose, δεινός, ή, όν (*comp.* ότερος, *sup.* ότατος), *avec l'infinitif.* Les femmes sont adroites à trouver des ruses, δειναὶ αἱ γυναῖκες εὑρίσκειν τέχνας (*sous-ent.* εἰσί), *Eurip.* Adroit dans les exercices du corps, γυμναστικός, ή, όν. Adroit à tirer au but, εὔστοχος, ος, ον. Qui a les mains adroites, εὔχειρ, ειρος (ὁ, ἡ, τὸ). Adroit des deux mains, ἀμφιδέξιος, ος, ον. Adroit à tout, πρὸς πάντα εὐφυής, ής, ές.

ADROITEMENT, *adv.* δεξιῶς.

ADULATEUR, *s. m.* κόλαξ, ακος (ὁ). Adulatrice, *s. f.* κολακίς, ίδος (ἡ).

ADULATION, *s. f.* κολακεία, ας (ἡ).

ADULER, *v. a.* κολακεύω, *fut.* εύσω, *acc.*

ADULTE, *adj.* ἐφῆλιξ, ικος (ὁ, ἡ) : ἀκμαῖος, α, ον. Être adulte, τὴν ἡλικίαν ἀκμάζω, ou *simplement* ἀκμάζω, *fut.* άσω.

ADULTÈRE, *s. m. violation de la foi conjugale*, μοιχεία, ας (ἡ). Commettre un adultère, μοιχεύω, *fut.* εύσω.

Adultère, *adj. qui concerne les adultères*, μοιχικός, ή, όν. || *Celui ou celle qui commet un adultère*, μοιχός, οῦ (ὁ) : *au fém.* μοιχάς, άδος (ἡ) : μοιχαλίς, ίδος (ἡ).

ADULTÉRIN, *adj.* μοιχίδιος, α, ον. **Fils adultérin**, μοιχίδιος, ου (ὁ), *sous-ent.* υἱός.

ADUSTE, *adj. brûlé*, ἐπι-κεκαυμένος, η, ον (*partic. parf. passif d'*ἐπι-καίω, *fut.* καύσω).

ADUSTION, *s. f.* ἐπίκαυσις, εως (ἡ).

ADVENIR, *v. n. Voyez* Avenir.

ADVERBE, *s. m.* ἐπίῤῥημα, ατος (τὸ).

ADVERBIAL, ale, *adj.* ἐπιῤῥηματικός, ή, όν.

ADVERBIALEMENT, *adv.* ἐπιῤῥηματικῶς.

ADVERSAIRE, *s. m.* ἀνταγωνιστής, οῦ (ὁ): ἀντιστάτης, ου (ὁ). **Les adversaires**, οἱ ἐναντίοι, ων. **Triompher de ses adversaires**, τῶν ἐναντίων κρατέω, ῶ, *fut.* ήσω. **Être l'adversaire de quelqu'un**, τινὶ ἐναντιόομαι, οῦμαι, *fut.* ώσομαι. **Se déclarer l'adversaire**, ἀνθ-ίσταμαι *fut.* ἀντιστήσομαι, *dat.* : ἀντι-τάσσομαι, *fut.* τάξομαι, *dat.* **Ils ont beaucoup d'adversaires**, αὐτοῖς πολλοὶ ἀντι-τάσσονται. || **Adversaire en justice**, ἀντίδικος, ου (ὁ), *Dém.* **Être l'adversaire de quelqu'un** *en justice*, τινὶ ἀντιδικέω, ῶ, *fut.* ήσω, *Xén.*

ADVERSE, *adj. contraire*, ἐναντίος, α, ον. || **La partie adverse**, *dans un procès*, ὁ ἀντίδικος, ου, *Dém.*

ADVERSITÉ, *s. f.* δυστυχία, ας (ἡ): ἀτυχία, ας (ἡ). **Les adversités**, δυστυχήματα, ων (τὰ): ἀτυχίαι, ῶν (αἱ) : συμφοραί, ῶν (αἱ): κακά, ῶν (τὰ). **Être dans l'adversité**, δυστυχέω, ῶ, *fut.* ήσω : κακοπραγέω, ῶ, *fut.* ήσω : κακῶς πράσσω, *fut.* πράξω. **Être plongé dans l'adversité**, κακίστῃ τύχῃ χράομαι, ῶμαι, *fut.* χρήσομαι. **Il est tombé dans l'adversité**, ἀτυχίᾳ περι-έπεσε (περι-πίπτω, *fut.* πεσοῦμαι). **Supporter l'adversité avec peine**, τὴν ἀτυχίαν δυσφορέω, ῶ, *fut.* ήσω : ἐπὶ τοῖς κακοῖς δυσχεραίνω, *fut.* ανῶ. **Secourir quelqu'un dans l'adversité**, τινι δυστυχοῦντι ἐπ-αρκέω, ῶ, *fut.* αρκέσω.

ÆGILOPS, *s. m.* αἰγίλωψ, ωπος (ὁ).

AÉRER, *v. a.* δια-ψύχω, *fut.* ψύξω, *acc.* **Bien aéré**, δι-εψυγμένος, η, ον.

AÉRIEN, enne, *adj.* ἀέριος, ος, ον. **De nature aérienne**, ἀερώδης, ης, ες.

AÉRONAUTE, *s. m.* ἀεροναύτης, ου (ὁ), *G. M.*

AÉROSTAT, *s. m.* ἀερόστατον, ου (τὸ), *G. M.*

ÆRUGINEUX, euse, *adj.* ἰώδης, ης, ες.

AFFABILITÉ, *s. f.* εὐπροσηγορία, ας (ἡ): φιλοφροσύνη, ης (ἡ). **Avec affabilité**, φιλοφρόνως.

AFFABLE, *adj.* εὐπροσήγορος, ος, ον : φιλόφρων, ων, ον, *gén.* ονος (*comp.* ονέστερος, *sup.* ονέστατος).

AFFADIR, *v. a. rendre fade, sans saveur*, ἄχυλον *ou* μωρὸν *ou* μωρότερον ποιέω, ῶ, *fut.* ήσω, *acc.* **Si le sel vient à s'affadir**, ἐὰν τὸ ἅλας ἄναλον γένηται (γίνομαι, *fut.* γενήσομαι), *Bibl.* : ἐὰν τὸ ἅλας μωρανθῇ (μωραίνομαι, *fut.* ανθήσομαι), *Bibl.* || *Au fig.* **Affadir le goût, les sensations**, τὴν γεῦσιν, τὰς αἰσθήσεις ἀμβλύνω *ou* ἀπ-αμβλύνω, *fut.* υνῶ. || **Affadir l'estomac**, *donner du dégoût*, ἄσην παρ-έχω, *fut.* ἕξω. **Avoir l'estomac affadi**, ἀσάομαι, ῶμαι, *fut.* ἀσήσομαι.

AFFADISSEMENT, *s. m. dégoût*, ἄση, ης (ἡ) : κόρος ου (ὁ). **Louer quelqu'un jusqu'à l'affadissement**, εἰς κόρον *ou* ἄχρι κόρου τινὰ ἐπ-αινέω, ῶ, *fut.* αινέσω.

AFFAIBLIR, *v. a.* ἐξ-ασθενίζω, *fut.* ίσω, *acc.* : ἐκ-λύω *ou* παρα-λύω, *fut.* λύσω, *acc.* **Affaiblir le corps, les forces**, τὸ σῶμα, τὴν δύναμιν θρύπτω *ou* δια-θρύπτω, *fut.* θρύψω. **Avoir le corps affaibli**, τὸ σῶμα ἀσθενῶς ἔχω, *fut.* ἕξω. || **Affaiblir la vue**, τὴν ὄψιν ἀμβλύνω, *fut.* υνῶ. **Avoir la vue affaiblie**, ἀμβλυώττω, *ou* ἀμβλυωπέω, ῶ, *fut.* ήσω. || **Affaiblir les couleurs**, τὰ χρώματα ἀμυδρόω, ῶ, *fut.* ώσω, *ou* ἀφανίζω, *fut.* ίσω. **Couleurs affaiblies**, τὰ ἠφανισμένα χρώματα, ων. || **Affaiblir la résolution, le courage, de quelqu'un**, τινὸς γνώμην, τινὸς φρόνημα κάμπτω, *fut.* κάμψω. **Affaiblir la puissancee l'autorité de quelqu'un**, τινὸς δύναμιν, ἀξίωμά τινος ἐλασσόω, ῶ, *fut.* ώσω.

s'Affaiblir, ἐξ-ασθενέω, ῶ, *fut.* ήσω : ἐκλύομαι *ou* παρα-λύομαι, *fut.* λυθήσομαι. **Affaibli par la débauche**, ὑπὸ τρυφῆς δια-τεθρυμμένος, η, ον (*partic. parf. passif de* δια-θρύπτω, *fut.* θρύψω). **Sa santé s'affaiblit**, *il va plus mal*, χαλεπώτερον ἔχει (ἔχω, *fut.* ἕξω). **L'espérance s'affaiblit**, *devient moindre*, ἐλάσσους αἱ ἐλπίδες γίνονται (γίνομαι, *fut.* γενήσομαι).

AFFAIBLISSANT, te, *adj.* θρυπτικός, ή, όν.

AFFAIBLISSEMENT, *s. m.* ἔκλυσις, εως (ἡ). **L'affaiblissement causé par les années**, ἡ ὑπὸ τοῦ γήρως ἀσθένεια, ας. **Tomber dans**

un grand affaiblissement, ἐξ-αδυνατέω, ῶ, *fut.* ήσω, *Plut.* Affaiblissement de la vue, ἡ τῆς ὄψεως ἀμύδρωσις, εως. Affaiblissement de l'esprit, ἡ τοῦ φρονεῖν παρακμή, ῆς. Affaiblissement de dignité, de puissance, ἡ ἐλάσσωσις, εως.

AFFAIRE, *s. f. occupation*, πρᾶγμα, ατος (τὸ). Fâcheuse affaire, δεινὸν πρᾶγμα. Bonne affaire, πρᾶγμα λυσιτελές. Petite affaire, πραγμάτιον, ου (τὸ). Où en sont les affaires? πῶ καθ-έστηκε τὰ πράγματα (*parf. de* καθ-ίσταμαι); L'affaire est toujours en même état, ὡσαύτως ἔχει τὸ πρᾶγμα. L'affaire va bien, va d'elle-même, καλῶς, αὐτόματον προ-χωρεῖ τὸ πρᾶγμα (προ-χωρέω, ῶ, *fut.* ήσω). Cela ne fait rien à l'affaire, πρὸς οὐδὲν καθ-ήκει τοῦτο (καθ-ήκω, *fut.* ήξω). C'est une affaire faite, διαπέπρακται (δια-πράσσω, *fut.* πράξω). Regardez ceci comme une affaire faite, ἴσθι περὶ τούτου ὡς ἤδη δια-πεπραγμένου. C'était une affaire faite, si... δι-επέπρακτ' ἄν, εἰ... L'étude est son unique affaire, ὅλος περὶ τοὺς λόγους εἶναι φιλεῖ (φιλέω, ῶ, *fut.* ήσω). Le jeu est son unique affaire, περὶ τὴν παιδιὰν μόνον πραγματεύεται (πραγματεύομαι, *fut.* εύσομαι). C'est votre affaire, τὸ σὸν πρᾶγμα *ou* τὸ σὸν ἔργον ἐστὶ τοῦτο. C'est l'affaire d'un homme riche, ἀνδρός ἐστι πλουσίου (*sous-ent.* ἔργον).

Affaires *privées*, τὰ ἴδια πράγματα, ων. Affaires domestiques, τὰ οἶκοι (*sous-ent.* πράγματα). Affaires en bon état, καλῶς ἔχοντα πράγματα. Rétablir les affaires de quelqu'un, τά τινος δι-ορθόω, ῶ, *fut.* ώσω. Faire soi-même ses affaires, τὰ ἴδια πράσσω, *fut.* πράξω. — celles d'un autre, τὰ ἑτέρου. Avoir des affaires, πράγματα ἔχω, *fut.* ἕξω : ἀσχολέομαι, οῦμαι, *fut.* ήσομαι. Avoir beaucoup d'affaires, πολλὴν ἀσχολίαν ἔχω, *fut.* ἕξω : πολλῇ ἀσχολίᾳ ἐν-έχομαι, *fut.* ἐν-σχεθήσομαι. Bien administrer ses affaires domestiques, τὰ ἐμαυτοῦ εὖ οἰκονομέω, ῶ, *fut.* ήσω : τὰ κατ' οἶκον εὖ δια-τίθεμαι, *fut.* θήσομαι : εὖ οἶκον δι-οικέω, ῶ, *fut.* ήσω. Ce ne sont pas mes affaires, οὐδὲν τοῦτο πρὸς ἐμέ (*sous-ent.* ἐστί) : οὐκ ἔστι ταῦτα τῶν πρὸς ἐμέ : οὐδέν μοι τούτων μέλει, *fut.* μελήσει. Être sans affaires, ἀπραγμόνως ἔχω, *fut.* ἕξω. Qui n'a point d'affaires, ἀπράγμων, ων, ον, *gén.* ονος. Faire des affaires, πραγματεύομαι, *fut.* εύσομαι. — avec quelqu'un, πρός τινα. Homme d'affaires, *intendant*, ἐπίτροπος, ου (ὁ). Les gens d'affaires, οἱ περὶ τὰ πράγματα ὄντες (*partic.* d'εἰμί, *fut.* ἔσομαι).

Affaires *publiques*, τὰ δημόσια πράγματα, ων : τὰ κοινὰ πράγματα, ων : *ou simplement* τὰ δημόσια, ων : τὰ κοινά, ῶν : τὰ τῆς πολιτείας : ἡ πολιτεία, ας. Prendre le maniement des affaires, τῶν πραγμάτων ἀντι-λαμβάνομαι, *fut.* λήψομαι. Les affaires de la marine, τὰ ναυτικά, ῶν.

Affaire, *procès*, δίκη, ης (ἡ). Avoir une affaire, δίκην ἔχω, *fut.* ἕξω : δικάζομαι, *fut.* άσομαι. — avec quelqu'un, πρός τινα. Gagner son affaire, τὴν δίκην αἱρέω, ῶ, *fut.* αἱρήσω. La perdre, δίκην ὀφλω, *fut.* ὀφλήσω.

Affaire, *débat*, ἀγών, ῶνος (ὁ). C'est une affaire d'honneur, ὁ ἀγών ἐστι περὶ δόξης.

Affaire, *embarras*, πράγματα, ων (τὰ). Faire ou susciter des affaires, πράγματά τινι παρέχω, *fut.* ἕξω. Se faire des affaires, πράγματα ἐμαυτῷ ἐμ-ποιέω, ῶ, *fut.* ήσω. Tirer quelqu'un d'affaire, τινὰ ἀπ-αλλάσσω, *fut.* άξω. Ce n'est pas une affaire de... οὐδὲν πρᾶγμα, *avec* τό *et l'infin.* : οὐκ ἔστι χαλεπὸν τὸ..., *infin.*

Affaire, *besoin*, χρεία, ας (ἡ). Avoir affaire de, χρείαν ἔχω, *fut.* ἕξω, *gén.* : δέομαι, *fut.* δεήσομαι, *gén.* Qu'ai-je affaire de cela? τί μοι μέλει τούτου (μελέω, *fut.* μελήσω); Qu'aviez-vous affaire de venir ici? τί σοι διέφερε δεῦρο ἥκειν (δια-φέρω, *fut.* δι-οίσω). Cela fait bien mon affaire, ταῦτά μοι προύργου ἐστί (προύργου, *contr. pour* πρὸ ἔργου).

AFFAIRÉ, ÉE, *adj.* ἄσχολος, ος, ον. Qui est fort affairé, πολυπράγμων, ων, ον, *gén.* ονος (*comp.* ονέστερος, *sup.* ονέστατος).

AFFAISSEMENT, *s. m.* ὑπόπτωσις, εως (ἡ). *On tourne mieux par le verbe.*

AFFAISSER, *v. a.* κατα-πιέζω, *fut.* πιέσω, *acc.* : κατα-βαρέω, ῶ, *fut.* ήσω, *acc.* ‖ S'affaisser, βρίθω, *fut.* βρίσω. S'affaisser sous une charge, τῷ βάρει ὑπο-πίπτω, *fut.* πεσοῦμαι. Les montagnes s'affaissent, τὰ ὄρη καθ-ίεται (καθ-ίημι, *fut.* καθ-ήσω). ‖ *Au fig.* S'affaisser sous le poids des années, τῷ γήρᾳ βαρύνομαι, *fut.* υνθήσομαι.

AFFAMER, *v. a.* λιμῷ πιέζω, *fut.* πιέσω, *acc. Xén.* : λιμαγχέω *et* λιμαγχονέω, ῶ, *fut.* ήσω, *acc. Hippocr.* Être affamé, λιμαίνω, *fut.* ανῶ, *Hérodt.* : λιμώττω, *sans fut. Luc.* : βουλιμιάω, ῶ, *fut.* άσω, *Xén.* : λιμαγχονέομαι, οῦμαι, *fut* ηθήσομαι, *Basil.* : λιμῷ πιέζομαι, *fut.* πιεσθήσομαι, *Xén. Souvent on tourne simplement par*

avoir faim, πεινάω, ῶ, *fut.* πεινάσω. Être affamé de quelque chose, τινὸς πεινάω, ῶ, *fut.* πεινάσω. Affamé, *au propre*, πειναλέος, α, ον, *Anthol. On tourne plus souvent par les participes* πεινῶν, ῶσα, ῶν : λιμαίνων *ou* λιμώττων, ουσα, ον. || *Au figuré.* Être affamé de richesses, χρημάτων πεινάω, ῶ, *fut.* άσω, *Xén.* Être affamé de gloire, πρὸς τὴν δόξαν ἀπλήστως ἔχω *fut.* ἕξω.

AFFECTATION, *s. f.* περιεργία, ας (ἡ). — dans l'ajustement, τοῦ κόσμου. Avec affectation, περιέργως. Discours sans affectation, λόγος ἀπερίεργος, ου (ὁ). Affectation de mots nouveaux, ὀνομάτων καινοτομία, ας (ἡ). Affectation de mots anciens, ἀρχαϊσμός, οῦ (ὁ).

AFFECTÉ, ÉE, *adj. ou partic.* περίεργος, ος, ον (*comp.* ότερος, *sup.* ότατος). *Voyez* AFFECTER.

AFFECTER, *v. a. rechercher avec soin*, ζηλόω, ῶ, *fut.* ώσω, *acc.* || *Faire avec un soin raffiné*, περι-εργάζομαι, *fut.* εργάσομαι, *acc.* Affecté, ée, περίεργος, ος, ον. Propreté affectée, κοσμιότης περίεργος, ου (ἡ). || *Simuler, feindre*, προσ-ποιέομαι, οῦμαι, *fut.* ήσομαι, *acc. ou infinit.* Affecter de la joie, χαίρειν *ou* τὴν χαρὰν προσ-ποιέομαι, οῦμαι. Affecter de l'indignation, τὸν δυσχεραίνοντα ὑπο-κρίνομαι, *fut.* κρινοῦμαι. || *Aspirer à*, ἀντι-ποιέομαι, οῦμαι, *fut.* ήσομαι, *gén.* — la royauté, τῆς ἀρχῆς.

AFFECTER, *émouvoir*, κινέω *ou* δια-κινέω, ῶ, *fut.* ήσω, *acc.* Qui s'affecte aisément, ἐμπαθής, ής, ές. Être vivement affecté, ἐμπαθῶς *ou* περιπαθῶς ἔχω, *fut.* ἕξω. || *Endommager, léser*, κακόω, ῶ, *fut.* ώσω, *acc.* La partie affectée, τὸ κακοπαθοῦν μέρος, ους (*partic. de* κακοπαθέω, ῶ, *fut.* ήσω). Être affecté d'une maladie, νόσῳ ἔχομαι, *fut.* σχεθήσομαι.

AFFECTER, *destiner à...*, προσ-νέμω, *fut.* νεμῶ, *acc.* : ἐπι-νέμω, *fut.* νεμῶ, *acc.* Affecter à une destination, εἴς τινα χρείαν ἀπο-νέμω, *fut.* νεμῶ, *acc.* Chaque art a des termes qui lui sont affectés, ἰδίας λέξεις αἱ τέχναι κέκτηνται (κτάομαι, ῶμαι, *fut.* κτήσομαι).

AFFECTIF, IVE, *adj.* παθητικός, ή, όν.

AFFECTION, *s. f. impression*, πάθος, ους (τὸ). || *Amitié tendre*, ἀγάπη, ης (ἡ) : φιλοστοργία, ας (ἡ). Avoir une vive affection pour ses parents, τοὺς γονεῖς φιλοστοργέω, ῶ, *fut.* ήσω. || *Bienveillance*, εὔνοια, ας (ἡ). Par affection pour quelqu'un, δι' εὔνοιάν τινος. Avoir de l'affection pour quelqu'un, εὔνοιαν ἔχω, εὔνους εἰμὶ πρός *ou* εἴς τινα. Lui en témoigner, εὔνοιάν τινι παρέχω, *fut.* ἕξω. L'affection que vous avez pour moi, ἡ εὔνοια ἡ παρὰ σοῦ ἐμοὶ ὑπ-άρχουσα (ὑπάρχω, *fut.* ρξω). || *Goût, inclination*, σπουδή, ῆς (ἡ). Avoir de l'affection pour la philosophie, περὶ φιλοσοφίαν σπουδάζω, *fut.* άσομαι.

AFFECTIONNER, *v. a.* ἀγαπάω, ῶ, *fut.* ήσω, *acc.* : στέργω, *fut.* στέρξω, *acc.* || S'affectionner quelqu'un, *gagner son amitié*, τινὰ οἰκειόομαι, οῦμαι, *fut.* ώσομαι || S'affectionner à quelqu'un, *s'attacher à lui*, τινὶ οἰκειόομαι, οῦμαι, *fut.* ωθήσομαι : τινὰ ἀγαπάω, ῶ, *fut.* ήσω. S'affectionner à quelque chose, περί τι σπουδάζω, *fut.* άσομαι. Les choses auxquelles je m'affectionne, ὑπὲρ ὧν μάλιστα σπουδάζω. Être bien *ou* mal affectionné pour quelqu'un, εὖ, κακῶς πρός τινα διά-κειμαι, *fut.* κείσομαι. Être affectionné pour le parti de quelqu'un, τά τινος φρονέω, ῶ, *fut.* ήσω.

AFFECTUEUSEMENT, *adv.* φιλοστόργως : φιλοφρόνως.

AFFECTUEUX, EUSE, *adj.* φιλόστοργος, ος, ον : φιλόφρων, ων, ον (*comp.* ονέστερος, *sup.* ονέστατος). || Mouvements affectueux *dans le discours*, τὰ πάθη, ῶν.

AFFERMER, *v. a. donner à ferme*, μισθόω, ῶ, *fut.* ώσω, *acc.* Affermer les revenus publics, τὰ τέλη ἀπο-μισθόω, ῶ, *fut.* ώσω, *ou* πιπράσκω, *fut.* περάσω, *ou* ἐκ-δίδωμι, *fut.* ἐκ-δώσω, *Poll.* || *Prendre à ferme*, μισθόομαι, οῦμαι, *fut.* ώσομαι, *acc.*

AFFERMIR, *v. a.* βεβαιόω, ῶ, *fut.* ώσω, *acc.* : στερεόω, ῶ, *fut.* ώσω, *acc.* : στηρίζω, *fut.* ίξω, *acc.* — sa puissance, τὴν ἀρχήν. Affermir la république, τὴν πόλιν εὐσταθῆ ποιέω, ῶ, *fut.* ήσω. Affermir son esprit, *ou* s'affermir contre... τὸν νοῦν κρατύνω, *fut.* υνῶ, *avec* πρός *et l'acc.* S'affermir sur ses pieds, τὴν στάσιν εὖ τίθεμαι, *fut.* θήσομαι. S'affermir dans sa résolution, τῇ προαιρέσει προσ-καρτερέω, ῶ, *fut.* ήσω. || Être affermi sur le trône, βεβαίως ἐν τῇ ἀρχῇ καθ-έστηκα (*parf. de* καθ-ίσταμαι). Autorité mal affermie, ἡ οὔπω καθ-εστηκυῖα ἀρχή, ῆς.

AFFERMISSEMENT, *s. m.* βεβαίωσις, εως (ἡ).

AFFÉTÉ, ÉE, *adj.* περίεργος, ος, ον.

AFFÉTERIE, *s. f.* περιεργία, ας (ἡ).

AFFICHE, *s. f.* πρόγραμμα, ατος (τὸ).

AFFICHER, *v. a. annoncer par une affiche*, προ-γράφω, *fut.* γράψω, *acc.* : προ-τίθημι, *fut.* θήσω, *acc.* Ils affichent la proclamation de Gor-

dien au peuple, προ-τιθέασι τὰ πρὸς τὸν δῆμον τοῦ Γορδιανοῦ γράμματα, *Hérodn.* Ayant fait afficher un édit, διάταγμα προ-θείς, *gén.* θέντος, *Hérodn.* || *Faire parade de...* ἐπι-δείκνυμαι, *fut.* δείξομαι, *acc.* Afficher de grandes prétentions, τὰ μέγιστα ἐπ-αγγέλλομαι, *fut.* αγγελοῦμαι. || Afficher le déshonneur de quelqu'un, τινὰ στηλιτεύω, *fut.* εύσω, *Grég.* Afficher sa perversité, στηλιτεύω τὴν ἐμαυτοῦ κακίαν, *Grég.*

AFFICHEUR, *s. m.* ὁ τὰ γράμματα προτιθείς, έντος (*part. de* προ-τίθημι).

AFFIDÉ, **ÉE**, *adj.* πιστός, ή, όν (*comp.* ότερος, *sup.* ότατος).

AFFILER, *v. a.* θήγω, *fut.* θήξω, *acc.* : ἀκονάω, ῶ, *fut.* ήσω, *acc.*

AFFILIATION, *s. f.* ἡ προσαίρεσις, εως.

AFFILIER, *v. a.* προσ-αιρέομαι, οῦμαι, *fut.* αιρήσομαι, *acc.* — à un corps, εἴς τινα τάξιν.

AFFINAGE, **AFFINEMENT**, *s. m.* ἄφεψις εως (ἡ).

AFFINER, *v. a.* ἀφ-εψέω, ῶ, *fut.* εψήσω, *acc.* Affiné, ée, ἄπεφθος, ος, ον.

AFFINEUR, *s. m.* — de métaux, ὁ τὰ μέταλλα ἀφ-εψῶν, οῦντος.

AFFINITÉ, *s. f. parenté*, συγγένεια, ας (ἡ). || *Rapport*, ἀναλογία, ας (ἡ) : ὁμοιότης, ητος (ἡ). Avoir de l'affinité, ἀνάλογον ἔχω, *fut.* ἕξω : ὁμοίως πέφυκα (*parf. de* φύομαι). — avec quelque chose, τινί *ou* πρός τι.

AFFIRMATIF, **IVE**, *adj.* καταφατικός, ή, όν. Particules affirmatives, σύνδεσμοὶ βεβαιωτικοί, ῶν.

AFFIRMATION, *s. f.* κατάφασις, εως (ἡ).

AFFIRMATIVE, *s. f.* κατάφασις, εως (ἡ). Il faut être ou pour l'affirmative, ou pour la négative, ἀνάγκη ἢ φάναι ἢ ἀπο-φάναι (φημί, *fut.* φήσω), *Aristt.*

AFFIRMATIVEMENT, *adv.* καταφατικῶς. Répondre affirmativement, κατά-φημι *ou simplement*, φημί, *fut.* φήσω.

AFFIRMER, *v. a.* φημί, *fut.* φήσω, *acc.* Affirmer fortement, δια-βεβαιόομαι, οῦμαι, *fut.* ώσομαι, *acc.* : δι-ισχυρίζομαι, *fut.* ίσομαι, *acc.* Ils l'affirmeront bien, mais ils ne pourront le prouver, φήσουσι μὲν, δεῖξαι δ' οὐχ ἕξουσι (φημί, *fut.* φήσω : δείκνυμι, *fut.* δείξω : ἔχω, *fut.* ἕξω).

AFFLEURER, *v. a.* *égaliser*, ὁμαλίζω, *fut.* ίσω, *acc.* *Xén.* : ὁμαλύνω, *fut.* υνῶ, *acc.* *Aristt.* — une chose au niveau d'une autre, τι πρός τι.

AFFLICTION, *s. f.* λύπη, ης (ἡ) : ἀνία, ας (ἡ) : ὀδύνη, ης (ἡ) : ἄλγος, ους (τὸ) : ἀδημονία, ας (ἡ) : περιωδυνία, ας (ἡ). Être plongé dans l'affliction, μεγίσταις λύπαις σύν-ειμι, *fut.* συνέσομαι. Tomber dans l'affliction, λύπῃ περι-πίπτω, *fut.* πεσοῦμαι. Prendre part à l'affliction de quelqu'un, τινὶ συν-αλγέω, ῶ, *fut.* ήσω. Qui n'éprouve pas d'affliction, ἄλυπος, ος, ον : ἀναλγής, ής, ές : ἀνάλγητος, ος, ον.

AFFLIGEANT, **TE**, *adj.* λυπηρός, ά, όν (*comp.* ότερος, *sup.* ότατος) : ἀνιαρός, ά, όν (*comp.* ότερος, *sup.* ότατος) : ἀλγεινός, ή, όν (*sup.* ἄλγιστος) : χαλεπός, ή, όν (*comp.* ότερος, *sup.* ώτατος).

AFFLIGER, *v. a.* *remplir de tristesse*, λυπέω, ῶ, *fut.* ήσω, *acc.* : ἀνιάω, ῶ, *fut.* άσω, *acc.* : ἀλγύνω, *fut.* υνῶ, *acc.* S'affliger, être affligé, λυπέομαι, οῦμαι, *fut.* ηθήσομαι : ἀνιάομαι, ῶμαι, *fut.* αθήσομαι : ἀλγέω, ῶ, *fut.* ήσω. — d'une chose, τινί *ou* ἐπί τινι. Je m'afflige des maux de mes amis, τοῖς τῶν φίλων κακοῖς ἀλγέω, ῶ, *Isocr.* Qui ne s'affligerait de ce qui se passe maintenant? τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις ἀλγήσειεν; *Isocr.* S'affliger de la félicité publique, ἐπὶ κοινοῖς ἀγαθοῖς δυσμεναίνω, *fut.* ανῶ, *Dém.* || *Léser*, *nuire*, *endommager*, κακόω, ῶ, *fut.* ώσω, *acc.* La fortune m'a affligé de bien des manières, πολλά με ἡ τύχη ἐκάκωσε. La guerre nous afflige de toutes les manières, ὁ πόλεμος πάντα τρόπον ταλαιπωρεῖ ἡμᾶς (ταλαιπωρέω, ῶ, *fut.* ήσω), *Isocr.* Être affligé d'une maladie grave, χαλεπῷ πάθει συν-έχομαι, *fut.* συ-σχεθήσομαι.

AFFLUENCE, *s. f.* *concours*, συνδρομή, ῆς (ἡ). Il y a une si grande affluence de monde, τοσοῦτον πλῆθος συν-ερρύηκε (συῤ-ῥέω, *fut.* ῥεύσω). || *Abondance*, περιουσία, ας (ἡ) : ἀφθονία, ας (ἡ). Vivre dans l'affluence de toutes choses, πάντων ἀφθονίᾳ περιῤ-ῥέομαι, *fut.* ῥυήσομαι. || *En méd.* Affluence d'humeurs, κατάῤῥους, ου (ὁ).

AFFLUER, *v. n.* συῤ-ῥέω, *fut.* ῥεύσω. Les biens, les vivres affluent, χρημάτων, σίτου ἐστὶν εὐπορία.

AFFOIBLIR, **AFFOIBLISSEMENT**. *Voyez* AFFAIBLIR, *etc.*

AFFOLÉ, **ÉE**, *adj. et part.* Être affolé de, ἐπι-μαίνομαι, *fut.* μανοῦμαι, *dat.*

AFFOURCHÉ, **ÉE**, *adj.* δια-βεβηκώς, υῖα, ός (*part. parf. de* δια-βαίνω, *fut.* βήσομαι). || Être affourché sur ses ancres, *en t. de mar.* ἐπὶ δυοῖν (*sous-ent.* ἀγκύραιν) ὁρμέω, ῶ, *fut.* ήσω.

AFFOURRAGER, *v. a.* χορτάζω, *fut.* άσω, *acc.*

AFFRANCHI, **IE**, *s. m. et f.* ἀπελεύθερος, ου (ὁ, ἡ). Né d'un père affranchi, ἀπελευθερικός, ή, όν. ‖ Affranchi, *partic. Voyez* Affranchir.

AFFRANCHIR, *v. a. tirer de l'esclavage*, ἐλευθερόω *ou* ἀπ-ελευθερόω, ῶ, *fut.* ώσω, *acc.* Affranchir la ville de la domination des barbares, τὴν πόλιν ἀπὸ βαρβάρων ἐλευθερόω, ῶ, *Plat.* Être affranchi de son ancienne servitude, τῆς πρόσθεν δουλείας ἀπ-αλλάσσομαι, *fut.* αλλαγήσομαι, *Suid.* ‖ Affranchir *d'un péril ou d'une chose fâcheuse*, ἀπ-αλλάσσω, *fut.* αλλάξω, *acc.* Affranchir quelqu'un de ses craintes, τινὰ τοῦ δέους ἀπ-αλλάσσω. Affranchir du service militaire, τοῦ στρατεύεσθαι ἀφ-ίημι, *fut.* ἀφ-ήσω, *acc.* — d'une dette, τοῦ χρέους. Être affranchi des fonctions publiques, ἀτέλειαν ἔχω τῶν λειτουργιῶν, *fut.* ἕξω. Affranchi d'une charge quelconque, ἀτελής, ής, ές, *avec le génit.* Affranchi de toute responsabilité, ἀνεύθυνος, ος, ον : ἀνυπεύθυνος, ος, ον.

AFFRANCHISSEMENT, *s. m. mise en liberté*, ἀπελευθέρωσις, εως (ἡ). ‖ *Exemption de charges*, ἀτέλεια, ας (ἡ). Affranchissement de tous maux, ἡ τῶν κακῶν ἀπαλλαγή, ῆς.

AFFRES, *s. f. pl.* φρῖκαι, ῶν (αἱ). Les affres de la mort, τὸ φρικῶδες τοῦ θανάτου, *gén.* φρικώδους.

AFFRÈTEMENT, *s. m.* — d'un vaisseau, ἡ τῆς νεὼς μίσθωσις, εως.

AFFRÉTER, *v. a.* — un vaisseau, ναῦν μισθόομαι, οῦμαι, *fut.* ώσομαι, *ou* ἐπὶ μισθῷ λαμβάνω, *fut.* λήψομαι. Vaisseau affrété, ναυκλήριον, ου (τὸ).

AFFRÉTEUR, *s. m. tournez par le verbe.*

AFFREUSEMENT, *adv.* δεινῶς. Être affreusement maltraité, δεινὰ πάσχω, *fut.* πείσομαι, *Dém.* Se comporter affreusement, δεινὰ ποιέω, ῶ, *fut.* ήσω, *Dém.*

AFFREUX, **EUSE**, *adj.* δεινός, ή, όν (*comp.* ότερος, *sup.* ότατος) : φρικώδης, ης, ες (*comp.* έστερος, *sup.* έστατος). Serments affreux, φρικώδεις ὅρκοι, ων, *Plut.* Regard affreux, δεινὸν βλέμμα, ατος. Lancer des regards affreux, δεινὸν βλέπω, *fut.* βλέψομαι, *Plut.* La chose du monde la plus affreuse, πάντων δεινότατον, *Thuc.* Cela n'est-il pas affreux? ταῦτα δῆτ' οὐ δεινά; *Aristoph.* Se plaindre, comme d'une chose affreuse, de ce que... δεινὸν *ou* ἐν δεινῷ ποιέομαι, οῦμαι, *fut.* ήσομαι, *avec* εἰ *et l'indicat.* N'envisageant pas seulement ce qu'il y a d'affreux dans notre avenir, μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανοοῦντες (πάσχω, *fut.* πείσομαι : κατα-νοέω, ῶ, *fut.* ήσω), *Thuc.* Affreux à voir, δεινὸς ἰδεῖν. Affreux à entendre, δεινος ἀκούειν. *On peut encore tourner par les adjectifs composés de* δυς, *comme :* Affreux à dire, δύσφατος, ος, ον. Affreux à supporter, δυσανάσχετος, *etc.*

AFFRIANDER, *v. a.* δελεάζω, *fut.* άσω, *acc.*

AFFRONT, *s. m. insulte*, ὕβρις, εως (ἡ) : ὕβρισμα, ατος (τὸ). Faire un affront à quelqu'un, τινὰ ὑβρίζω, *fut.* ίσω. Faire un affront sanglant, δεινὴν ὕβριν εἴς τινα ὑβρίζω, *fut.* ίσω. Faire à quelqu'un un affront qu'il ne mérite pas, τινὰ παρὰ δίκην ὑβρίζω. Recevoir un affront, ὕβριν πάσχω, *fut.* πείσομαι : ὑβρίζομαι, *fut.* ισθήσομαι. Il a reçu bien des affronts, πολλὰ καὶ δεινὰ ὑβρίσθη. Les affronts qu'il a reçus de vous, ἃ ὑπὸ σοῦ ὑβρίσθη. Faire affront à sa famille, τὸ γένος αἰσχύνω, *fut.* υνῶ, *ou* κατ-ελέγχω, *fut.* ελέγξω, *Tyrt.* Faire affront à son père, à son maître, τὸν πατέρα, τὸν διδάσκαλον καταισχύνω, *fut.* υνῶ, *Plut.*

AFFRONTER, *v. a. attaquer de front*, παρα-βάλλομαι, *fut.* βαλοῦμαι, *dat.*—les ennemis, τοῖς πολεμίοις. — les dangers, τοῖς κινδύνοις. Affronter la mort, τὸν θάνατον αἴρομαι, *fut.* ἀροῦμαι. Périls affrontés, κίνδυνοι ἀν-ειλημμένοι (*partic. parf. passif d'*ἀνα-λαμβάνω, *fut.* λήψομαι). ‖ *Tromper impudemment*, ψεύδομαι, *fut.* ψεύσομαι, *acc.* : ἀπατάω, ῶ, *fut.* ήσω, *acc.* : φενακίζω, *fut.* ίσω, *acc. Voyez* Tromper.

AFFRONTEUR, **EUSE**, *s. m. et f.* πανοῦργος, ου (ὁ, ἡ).

AFFUBLEMENT, *s. m.* στολισμός, οῦ (ὁ).

JETER, v. a. lancer, βάλλω, fut. βαλῶ, acc. Jeter une pierre, λίθον βάλλω, fut. βαλῶ. Mais quand il y a un régime indirect, on renverse la phrase. Jeter une pierre à quelqu'un, λίθῳ τινὰ βάλλω, fut. βαλῶ. On lui jetait des couronnes, στεφάνοις αὐτὸν ἔβαλλον. Pour conserver la construction française, on emploie le verbe ἵημι dans les composés. Il jette une pierre du haut du mur, λίθον ἀπὸ τοῦ τείχους ἀφ-ίησι (ἀφ-ίημι, fut. ἀφ-ήσω). Il lui jeta une tuile, αὐτῷ κεραμίδα ἐπαφ-ῆκε (ἐπαφ-ίημι, fut. ήσω), Plut. || Jeter dehors, ἐκ-βάλλω, fut. βαλῶ, acc. Jetez-le à la porte, ἔκ-βαλλε αὐτὸν θύραζε. Jeter en bas, par terre, κατα-βάλλω, fut. βαλῶ, acc. Ils le jettent en bas de son cheval, αὐτὸν ἀπὸ τοῦ ἵππου κατα-βάλλουσι, Xén. Jeter une maison par terre, τὴν οἰκίαν κατα-βάλλω, fut. βαλῶ, ou καθαιρέω, ῶ, fut. αιρήσω. || Jeter avec violence, ῥίπτω, fut. ῥίψω, acc. Il le jette sur des pierres, ῥίπτει αὐτὸν κατὰ πετρῶν. Jeter de côté, jeter loin de soi, ἀποῤ-ῥίπτω, fut. ῥίψω, acc. Ayant jeté son vêtement royal, τὴν χλαμύδα τὴν βασιλικὴν ἀποῤ-ῥίψας, Hérodn. || Jeter l'ancre, τὴν ἄγκυραν χαλάω, ῶ, fut. χαλάσω. || Jeter les dés, τὸν κύβον ῥίπτω ou ἀναῤ-ῥίπτω, fut. ῥίψω. Que le sort en soit jeté, ἀν-εῤῥίφθω κύβος, Plut.

JETER, répandre, verser, χέω, fut. χεύσω, acc. Jeter de l'eau sur les mains, χερσὶν ὕδωρ ἐπι-χέω. || Jeter du sang, αἷμα ἀφίημι, fut. ἀφ-ήσω : αἵματι ῥέω, fut. ῥεύσω, ou στάζω, fut. στάξω : αἱμοῤῥοέω, ῶ, fut. ήσω. Qui jette du sang, αἱμοσταγής, ής, ές. || Jeter du pus, ou simplement jeter, suppurer, ἐκ-πυΐσκω ou ἐκ-πυέω, ῶ, fut. ήσω. Faire jeter, faire suppurer, ἐκ-πυόω, ῶ, fut. ώσω, acc.

JETER, faire jaillir hors de soi, ἀφ-ίημι, fut. ἀφ-ήσω, acc. Jeter de la lumière, φῶς ἀφ-ίημι. Jeter du feu, πῦρ ἀφ-ίημι. || Jeter son feu, au fig. être dans toute sa force, ἀκμάζω, fut. άσω. Quand il aura jeté son premier feu, ὅταν παρ-ακμάσῃ (παρ-ακμάζω, fut. άσω). || Jeter une odeur infecte, δυσῶδες πνεῦμα ἀφ-ίημι, fut. ἀφ-ήσω.

JETER, pousser, produire, en parlant des végétaux, βάλλω, fut. βαλῶ, acc. : φύω, fut. φύσω, acc. : ἵημι (rare au futur), acc. Jeter des racines, ῥιζοβολέω, ῶ, fut. ήσω. Jeter beaucoup de feuilles, φυλλοφυέω, ῶ, fut. ήσω. Jeter trop de bois, ὑλομανέω, ῶ, fut. ήσω.

Jeter, *établir*. Jeter les fondements d'une maison, τὰ θεμέλια τῆς οἰκίας κατα-βάλλομαι, *fut.* βαλοῦμαι.

Jeter, *couler*, *fondre*, χέω, *fut.* χεύσω, *acc* : χωνεύω, *fut.* εύσω. Jeté en fonte, χυτός, ή, όν : χωνευτός, ή, όν.

Jeter, *au fig.* Jeter dans le malheur, dans l'embarras, εἰς ἀτυχίαν, εἰς πράγματα ἐμ-βάλλω, *fut.* βαλῶ, *acc.* Jeter l'épouvante dans toutes les âmes, ἅπασι φόβον ἐμ-βάλλω. || Jeter un regard, les yeux, *etc. Pour ces idiotismes et pour beaucoup d'autres, voyez les différents articles du dictionnaire.*

se Jeter, *v. r.* ἐμαυτὸν ῥίπτω, *fut.* ῥίψω. — dans la mer, εἰς τὴν θάλασσαν. — sur les rochers, κατὰ τῶν πετρῶν, *Plut.* S'étant jeté sur la pointe de son épée, τῷ ἄκρῳ ξίφει περι-πεσών (περι-πίπτω, *fut.* πεσοῦμαι). || Se jeter sur quelqu'un, ἐπί τινα *ou* εἴς τινα ἐφ-ορμάω, ῶ, *fut.* ήσω : τινὶ ἐφ-άλλομαι, *fut.* αλοῦμαι. Se jeter à travers les combattants, τοῖς μαχομένοις παρεμ-πίπτω, *fut.* πεσοῦμαι. Se jeter aux pieds de quelqu'un, γόνασί τινος προσ-πίπτω. Se jeter à son cou, τινὰ περι-βάλλω, *fut.* βαλῶ. || Se jeter dans un parti, αἱρέσει τινὶ προσ-τίθεμαι, *fut.* προσ-θήσομαι, *ou* προσ-αρτάομαι, ῶμαι, *fut.* ηθήσομαι. || Se jeter sur un pays, *y faire invasion*, εἰς χώραν ἐμ-βάλλω *ou* εἰσ-βάλλω, *fut.* βαλῶ. || Se jeter dans la mer, *en parlant des fleuves*, εἰς θάλασσαν εἰσ-βάλλω, *fut.* βαλῶ, *ou* εἰσ-ρέω, *fut.* ῥεύσω.

JETON, *s. m.* ψῆφος, ου (ἡ).

JEU, *s. m. amusement*, παιδιά, ᾶς (ἡ). Jeu de balle, de paume, *etc. Voyez ces mots.* Jeu de trictrac, *ou autre jeu mêlé de hasard et de combinaison*, πεσσεία, ας (ἡ). Jouer à quelqu'un de ces jeux, πεσσεύω, *fut.* εύσω. Jeu de dés, jeu de hasard, κυβεία, ας (ἡ). Maison de jeu, κυβευτήριον, ου (τὸ). Passer sa vie au jeu, περὶ κύβους τὸν ὅλον βίον δι-άγω, *fut.* άξω. Être heureux au jeu, εὐκυβέω, ῶ, *fut.* ήσω. Être malheureux, δυσκυβέω, ῶ, *fut.* ήσω. Se ruiner au jeu, τὴν οὐσίαν κατα-κυβεύω, *fut.* εύσω. Il a tout perdu au jeu, παντάπασι κατ-εκυβεύθη. || Cacher son jeu, *au fig. dissimuler ses intentions*, κλέπτω, *fut.* κλέψω.

Jeu, *badinage*, παιδιά, ᾶς (ἡ). Par forme de jeu, μετὰ παιδιᾶς. N'est-ce qu'un jeu, ou parle-t-il tout de bon? σπουδάζει ταῦτα, ἢ παίζει (σπουδάζω, *fut.* άσομαι : παίζω, *fut.* παιξοῦμαι); Ce n'est qu'un jeu d'apprendre cela, παιδιὰ (*sous-ent.* ἐστί) ταῦτα μαθεῖν (μανθάνω, *fut.* μαθήσομαι). || Jeu de mots, παρωνυμία, ας (ἡ) : παρονομασία, ας (ἡ).

Jeu, *débit d'un comédien*, ὑπόκρισις, εως (ἡ).

Jeux publics, ἀγῶνες, ων (οἱ). Célébrer des jeux, ἀγῶνας τελέω, ῶ, *fut.* τελέσω. Présider aux jeux, ἀγωνοθετέω, ῶ, *fut.* ήσω. Qui y préside, ἀγωνοθέτης, ου (ὁ). Combattre, *ou* disputer le prix aux jeux olympiques, τὰ ὀλύμπια ἀγωνίζομαι, *fut.* ίσομαι.

JEUDI, *s. m.* ἡ τοῦ Διὸς ἡμέρα, ας.

à JEUN, *adv.* ἀσιτί. Qui est à jeun, ἄσιτος, ος, ον : νῆστις, ιδος (ὁ, ἡ). Boire à jeun, νηστοποτέω, ῶ, *fut.* ήσω.

JEUNE, *adj.* νέος, α, ον (*comp.* ώτερος, *sup.* ώτατος). Les jeunes gens, οἱ νέοι, ων. Jeune garçon, μειράκιον, ου (τὸ). Jeune fille, κόρη, ης (ἡ). Jeune homme, νεανίας, ου (ὁ). Se conduire en jeune homme, νεανιεύομαι, *fut.* εύσομαι. Jeune de caractère, τὸ ἦθος νεαρός, ά, όν. Être jeune, νεάζω, *fut.* άσω. Redevenir jeune, ἀνα-νεάζω, *fut.* άσω. N'être plus jeune, παρ-ήκμακα (*parf. de* παρακμάζω, *fut.* άσω.)

JEUNE, *s. m. abstinence*, νηστεία, ας (ἡ). Jour de jeûne, ἡ νήστιμος ἡμέρα, ας.

JEUNER, *v. n.* νηστεύω, *fut.* εύσω.

JEUNESSE, *s. f.* νεότης, ητος (ἡ). Dès la jeunesse, ἐκ νέων : ἀπὸ τῶν νέων. La première jeunesse, ἥβη, ης (ἡ). La force de la jeunesse, ἡ τῆς ἡλικίας ἀκμή, ῆς, *ou simplement* ἡλικία, ας (ἡ). L'éclat *ou* la fraîcheur de la jeunesse, ὥρα, ας (ἡ). Qui est encore dans tout l'éclat de la jeunesse, ὡραῖος, α, ον. Passer sa jeunesse à quelque chose, ἔν τινι *ou* περί τι τὴν ἡλικίαν δι-άγω, *fut.* άξω. Passer sa jeunesse dans les camps, ἐν στρατιωτικῷ βίῳ νεάζω, *fut.* άσω, *Hérodn.* || La jeunesse, *les jeunes gens*, οἱ νέοι, ων : τὸ νεανικόν, οῦ : οἱ ἐν ἡλικίᾳ : *quelquefois* ἡλικία, ας (ἡ) : νεότης, ητος (ἡ). Nombreuse jeunesse, ἡ πολλὴ νεότης, ητος, *Xén.* Toute la jeunesse ennemie ayant été tuée, τῶν ἐχθρῶν ἡβηδὸν ἀναιρεθέντων (ἀν-αιρέω, ῶ, *fut.* αιρήσω), *Phil.* || Trait de jeunesse, νεανίευμα, ατος (τὸ). Faire des traits de jeunesse, νεανιεύομαι, *fut.* εύσομαι.

JOAILLERIE,* *s. f.* ἡ χρυσοχοϊκή, ῆς (*sous-ent.* τέχνη).

JOAILLIER, *s. m.* χρυσοχόος, ου (ὁ).

JOIE, *s. f.* χαρά, ᾶς (ἡ) : ἡδονή, ῆς (ἡ). Avoir de la joie, χαίρω, *fut.* χαιρήσω : ἥδομαι, *fut.* ἡσθήσομαι. — d'une chose, ἐπί τινι. Comment pourrais-je vous marquer la joie que je ressens de vos succès? πῶς ἂν εἴην δῆλος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς (χαίρων, ουσα, ον, *partic. de* χαίρω); *Xén.* Transports de joie, ἀγαλλίασις, εως (ἡ). Être transporté de joie, ἀγάλλομαι (*sans fut.*) : ἀγαλλιάω, ῶ, *fut.* άσω : ὑπερ-χαίρω, *fut.* χαιρήσω : ὑπερ-ήδομαι, *fut.* ησθήσομαι : περιχαρῶς ἔχω, *fut* ἕξω. Transporté de joie, περιχαρής, ής, ές. Sauter de joie, ὑπὸ πλήθους καὶ μεγέθους τῆς χαρᾶς ἀνα-σκιρτάω, ῶ, *fut.* ήσω, *Phil.* Partager la joie de quelqu'un, τινὶ συγ-χαίρω, *fut.* χαιρήσω, *ou* συν-ήδομαι, *fut.* ησθήσομαι. ‖ Avec joie, *volontiers*, ἀσμένως.

JOIGNANT, ANTE, *adj.* προσεχής, ής, ές : συνεχής, ής, ές : συναφής, ής, ές, *avec le dat.*

JOIGNANT, *adv. près*, *auprès*, σύνεγγυς, *gén. ou dat.* Joignant la maison, σύνεγγυς τῇ οἰκίᾳ.

JOINDRE, *v. a. unir*, ζεύγνυμι, *fut.* ζεύξω, *acc.* Joindre les mains, τὼ χεῖρε *ou* τὰς χεῖρας συμ-πλέκω, *fut.* πλέξω. ‖ *Au fig.* Joindre une chose à une autre, τί τινι παρα-ζεύγνυμι *ou* ἐπι-ζεύγνυμι, *fut.* ζεύξω, *ou* προσ-τίθημι, *fut.* προσ-θήσω, *ou* προσ-άπτω *ou* συν-άπτω, *fut.* άψω. Joindre le goût pour les muses aux exercices militaires, τῇ κατὰ τὸν πόλεμον ἀσκήσει τὴν φιλομουσίαν παρα-ζεύγνυμι, *fut.* ζεύξω, *Plut.* La force jointe à la prudence, ἡ μετὰ φρονήσεως ῥώμη, ης. ‖ Joindre ses prières à celles d'un autre, τινὶ συν-εύχομαι *fut.* εὔξομαι. Je joins mon témoignage au vôtre, ἐγώ σοι συμ-μαρτυρέω, ῶ, *fut.* ήσω. *On forme ainsi avec la prép.* σύν *beaucoup de verbes composés.*

JOINDRE quelqu'un, *l'atteindre*, τινὸς ἐφ-ικνέομαι, οῦμαι, *fut.* ἵξομαι.

SE JOINDRE, *v. r. se toucher*, *se rapprocher*, *s'unir*, συν-άπτω, *fut.* άψω, *dat.* Ces montagnes se joignent, ἀλλήλοις συν-άπτει τὰ ὄρη. ‖ *S'ajouter à*, προσ-γίνομαι, *fut.* γενήσομαι, *dat.* : προσ-τίθεμαι, *fut.* προσ-τεθήσομαι, *dat.* Des troupes nombreuses vinrent se joindre à lui, μεγάλη δύναμις αὐτῷ προσ-εγένετο (*aor. 2 de* προσ-γίνομαι). A l'injustice vient se joindre l'outrage, τῇ ἀδικίᾳ πρόσ-εστιν ἡ ὕβρις (πρόσ-ειμι, *fut.* έσομαι).

JOINT que, *outre que*, πρὸς τῷ, *infin.*

JOINT, *s. m. ou* JOINTURE, *s. f.* συναφή, ῆς (ἡ). Jointure des membres, ἄρθρον, ου (τὸ).

JOLI, IE, *adj.* κομψός, ή, όν (*comp.* ότερος, *sup.* ότατος). Jolie pensée, τὸ κομψὸν νόημα, ατος.

JOLIET, ETTE, *adj.* κομψότερος, α, ον.

JOLIMENT, *adv.* κομψῶς.

JOLIVETÈS, *s. f. pl.* παίγνια, ων (τὰ).

JONC, *s. m.* σχοῖνος, ου (ἡ). De jonc, σχοίνινος, η, ον.

JONCHÉE, *s. f.* κατάστρωσις, εως (ἡ). Jonchée de feuilles, φυλλάς, άδος (ἡ).

JONCHER, *v. a.* στρώννυμι *ou* κατα-στρώννυμι, *fut.* στρώσω : στορέννυμι, *ou* κατα-στορέννυμι, *fut.* στορέσω, *acc.* — la terre de roses, ῥόδοις τὴν γῆν. Jonché de feuilles, φυλλόστρωτος, ος, ον.

JONCHETS, *s. m. pl.* ξυλάρια, ων (τὰ).

JONCTION, *s. f.* ζεῦξις εως (ἡ). Jonction de deux fleuves, συῤῥοή, ῆς (ἡ). Jonction de deux armées, σύνοδος, ου (ἡ). Opérer sa jonction, συν-έρχομαι, *fut.* ελεύσομαι. — avec quelqu'un, τινί. — dans un lieu, εἴς τινα τόπον. Empêcher la jonction des armées, τοὺς στρατοὺς συν-ελθεῖν κωλύω, *fut.* ύσω (συν-έρχομαι, *fut.* ελεύσομαι) : τὰς δυνάμεις δια-λαμβάνω, *fut.* λήψομαι, *ou* δια-κλείω, *fut.* κλείσω.

JONGLERIE, *s. f.* ἀγυρτεία, ας (ἡ).

JONGLEUR, *s. m.* ἀγύρτης, ου (ὁ). De jongleur, ἀγυρτικός, ή, όν. Faire le métier de jongleur, ἀγυρτάζω, *fut.* άσω.

JONQUILLE, *s. f. plante*, νάρκισσος, ου (ὁ).

JOUBARBE, *s. f. plante*, ἀείζωον, ου (τὸ).

JOUE, *s. f.* γνάθος, ου (ἡ). Enfler ses joues, τὰς γνάθους φυσάω, ῶ, *fut.* ήσω. Frapper sur la joue, ἐπὶ κόῤῥης πατάσσω, *fut.* άξω, *acc.*

JOUER, *v. n. se divertir*, παίζω, *fut.* παιξοῦμαι. Jouer avec quelqu'un, τινὶ συμ-παίζω. Jouer aux osselets, au trictrac, ἀστραγάλοις, πεσσοῖς παίζω. Jouer aux jeux de hasard, κυβεύω, *fut.* εύσω. Jouer de bonheur, εὐκυβέω, ῶ, *fut.* ήσω. Jouer de malheur, δυσκυβέω, ῶ, *fut.* ήσω. ‖ Jouer d'adresse, *au fig.* τεχνάζομαι, *fut.* άσομαι. Jouer au plus fin, ἀντι-τεχνάζομαι, *fut.* άσομαι.

Jouer, *v. a. risquer au jeu.* Jouer mille drachmes, περὶ χιλίων δραχμῶν κυβεύω. Jouer son reste, son va-tout, πάντα κύβον ἀναῤ-ῥίπτω, *fut.* ῥίψω. || *Au fig.* Jouer sa vie, jouer à se faire tuer, τῷ βίῳ κυβεύω : τὸν περὶ τοῦ βίου κύβον ἀναῤ-ῥίπτω, *fut.* ῥίψω : τὸν βίον ἀναῤ-ῥίπτω, *fut.* ῥίψω. || Jouer quelque mauvais tour à quelqu'un, κακόν τί τινι *ou* κατά τινος μηχανάομαι, ῶμαι, *fut.* ήσομαι : κακῶς τινα ποιέω, ῶ, *fut.* ήσω.

Jouer *d'un instrument,* ᾄδω, *fut.* ᾄσομαι, *dat.* Jouer de la guitare, τῇ κιθάρᾳ ᾄδω, *ou simplement* κιθαρίζω, *fut.* ίσω. Jouer de la lyre, λυρίζω, *fut.* ίσω. Jouer de la flûte, αὐλέω, ῶ, *fut.* ήσω. Jouer un air sur la lyre, sur la flûte, μέλος τι λυρίζω *ou* αὐλέω, ῶ. *Tous les verbes semblables se construisent activement.*

Jouer *une pièce de théâtre,* ὑπο-κρίνομαι, *fut.* κρινοῦμαι, *acc.* Jouer le rôle d'Agamemnon, τὸν Ἀγαμέμνονα ὑπο-κρίνομαι. Jouer les premiers rôles, πρωταγωνιστέω, ῶ, *fut.* ήσω. Jouer les seconds rôles, δευτεραγωνιστέω, ῶ, *fut.* ήσω. || *Au fig.* Il joua un grand rôle dans cette affaire, τούτων δὴ καὶ πλεῖστον μέρος γέγονε (γίνομαι, *fut.* γενήσομαι).

Jouer quelqu'un, *le tromper,* φενακίζω, *fut.* ίσω, *acc.* : ἀπατάω, ῶ, *fut.* ήσω, *acc.*

se Jouer, *v. r. s'amuser, se divertir,* παίζω, *fut.* παιξοῦμαι. — avec quelque chose, τινί. || Se jouer de quelqu'un, *s'en moquer,* τινὶ ἐμ-παίζω, *fut.* παιξοῦμαι. || Se jouer de quelque chose, *s'en faire un jeu,* παίγνιόν τι ποιέομαι, οῦμαι, *fut.* ήσομαι. || Se jouer à quelqu'un, *avoir affaire à lui,* τινὸς ἅπτομαι, *fut.* ἅψομαι. Se jouer à forte partie, τοῦ κρείσσονος ἅπτομαι. || Se jouer, *au fig.* Le vent se joue dans les branches, παίζει διὰ τῶν φύλλων ὁ ἄνεμος. Ses cheveux se jouaient sur ses épaules, ἡ κόμη ἐπὶ τῶν ὤμων ἐκέχυτο (*plus-que-parfait passif de* χέω, *fut.* χεύσω).

JOUET, *s. m.* παίγνιον, ου (τὸ). Faire son jouet de quelqu'un, παίγνιόν τινα ποιέομαι, οῦμαι, *fut.* ήσομαι. Servir de jouet à quelqu'un, παίγνιόν τινι πρό-κειμαι, *fut.* κείσομαι. || Être le jouet de la fortune, ὑπὸ τῆς τύχης ὑβρίζομαι, *fut.* ισθήσομαι.

JOUEUR, *s. m.* Joueuse, *s. f. qui prend part à des jeux,* παίζων, ουσα, ον (*partic. de* παίζω, *fut.* παιξοῦμαι). || *Qui aime à jouer, à se divertir,* παιγνήμων *ou* φιλοπαίγμων, ων, ον, *gén.* ονος. || *Qui se livre aux jeux de hasard,* κυβευτής, οῦ (ὁ). Joueur passionné, φιλόκυβος, ος, ον. Habile joueur, κυβευτικός, ή, όν.

Joueur de gobelets, ψηφοπαίκτης, ου (ὁ). || Joueur d'instruments à cordes, ψάλτης, ου (ὁ). Joueur de guitare, κιθαριστής, οῦ (ὁ). Joueur de flûte, αὐλητής, οῦ (ὁ). *Tous les instruments ont ainsi un substantif correspondant.*

JOUFFLU, ue, *adj.* τὰς γνάθους πεφυσημένος, η, ον (*partic. parf. passif de* φυσάω, ῶ, *fut.* ήσω).

JOUG, *s. m.* ζυγός, οῦ (ὁ). De joug, qui va sous le joug, ζύγιος, ος, ον. Mettre sous le joug, ζυγόω, ῶ, *fut.* ώσω, *acc.* Oter le joug, ἀνα-ζυγόω, ῶ, *fut.* ώσω, *acc.* : ἀναζεύγνυμι, *fut.* ζεύξω, *acc.* : λύω, *fut.* λύσω, *acc.* Qui n'est pas soumis au joug, ἄζυγος, ος, ον. || Le joug de la servitude, ὁ δούλειος ζυγός, οῦ. Subir volontairement le joug, τὸν αὐχένα τῷ ζυγῷ ὑπο-τίθεμαι, *fut.* ὑπο-θήσομαι. Chercher à secouer le joug, ζυγομαχέω, ῶ, *fut.* ήσω.

JOUJOU, *s. m.* ἀθυρμάτιον, ου (τὸ).

JOUIR, *v. n.* καρπόομαι, οῦμαι, *fut.* ώσομαι, *acc.* : ἀπο-λαύω, *fut.* λαύσομαι, *gén.* Jouir des biens présents, τὰ παρ-όντα καρπόομαι, οῦμαι : τῶν παρ-όντων ἀγαθῶν ἀπο-λαύω. Les plaisirs dont on jouit, αἱ κατ' ἀπόλαυσιν ἡδοναί, ῶν. || Jouir d'une bonne santé, εὐρωστέω, ῶ, *fut.* ήσω. Jouir d'un bonheur constant, τὰ πλεῖστα καλῶς πράσσω, *fut.* πράξω.

JOUISSANCE, *s. f. plaisir ou avantage qu'on retire d'une chose,* ἀπόλαυσις, εως (ἡ). || *Usufruit,* κάρπωσις *ou* ἐκκάρπωσις, εως (ἡ). Avoir la jouissance d'un bien, d'une terre, τὸ κτῆμα, τὸν ἀγρὸν καρπόομαι, οῦμαι, *fut.* ώσομαι. || *Plaisir, agrément,* ἡδονή, ῆς (ἡ) : τέρψις, εως (ἡ). Jouissances physiques, αἱ κατὰ τὸ σῶμα ἡδοναί, ῶν.

JOUR, *s. m.* ἡμέρα, ας (ἡ). Point du jour, ὄρθρος, ου (ὁ) : ἕως, ω (ἡ). Au point du jour, ἅμα ὄρθρῳ : ἅμα ἕῳ. Ils vinrent au point du jour, ὄρθριοι ἦλθον (ἔρχομαι, *fut.* ἐλεύσομαι). Avant le jour, περὶ βαθὺν ὄρθρον. Avec le jour, ἅμα ἡμέρᾳ. Il commence à faire jour, ὑπο-φαίνει τι τῆς ἡμέρας (ὑπο-φαίνω, *fut.* φανῶ). Il fait jour, ἡμέρα γίνεται (γίνομαι, *fut.* γενήσομαι). Le jour baisse, κλίνει ἡ ἡμέρα

(κλίνω, *fut.* κλινῶ). Sur le déclin du jour, ὀψὲ τῆς ἡμέρας. ‖ Jour de fête, ἑορτή, ῆς (ἡ). Jour de travail, ἡ ἐργάσιμος, ου (*sous-ent.* ἡμέρα). *Souvent en effet on sous-entend* ἡμέρα. Le premier jour, τῇ πρώτῃ. Le second jour, τῇ δευτέρᾳ. Il vint le second, le troisième jour, δευτεραῖος, τριταῖος ἦλθε (ἔρχομαι, *fut.* ἐλεύσομαι). Il vint le cinquantième jour, πεντηκοσταῖος ἦλθε. *On forme ainsi beaucoup d'autres adjectifs.* Différer de jour en jour, ἡμέραν ἐξ ἡμέρας ἀνα-βάλλομαι, *fut.* βαλοῦμαι. Il y a plusieurs jours que, πολλαὶ ἡμέραι εἰσὶν ἐξ οὗ, *indic.* Quatre jours après qu'il était arrivé, τὴν τετάρτην αὐτοῦ ἥκοντος (ἥκω, *fut.* ἥξω). Dans quelques jours, ὀλίγων ἡμερῶν : μετ' ὀλίγας ἡμέρας. Dans six jours, ἓξ ἡμερῶν : ἐντὸς ἓξ ἡμερῶν. Pendant quelques jours, ὀλίγας ἡμέρας : δι' ὀλίγων ἡμερῶν. Il y a dix jours, πρὸ δέκα ἡμερῶν. Depuis dix jours, τὴν δεκάτην ἤδη ἡμέραν. Tous les jours, καθ' ἡμέραν. Nuit et jour, νύκτα τε καὶ μεθ' ἡμέραν. Passer le jour, ἡμερεύω *ou* δι-ημερεύω, *fut.* εύσω. — à faire quelque chose, ἔν τινι. Passer tout le jour sans manger, ἄσιτος δι-ημερεύω, *fut.* εύσω. Au jour le jour, καθ' ἡμέραν : ἐφ' ἡμέραν. Qui vit au jour le jour, ἡμερόβιος, ος, ον.

Jours, *vie*, βίος, ου (ὁ). Il passe tranquillement le reste de ses jours, ἐν ἡσυχίᾳ τὸ λοιπὸν τοῦ βίου δια-τελεῖ δια-τελέω, ῶ, *fut.* τελέσω). Être sur la fin de ses jours, ἐν δυσμαῖς τοῦ βίου εἰμί, *fut.* ἔσομαι. A la fin de ses jours, τελευτῶντος ἤδη τοῦ βίου (τελευτάω, ῶ, *fut.* ήσω). Finir ses jours, τοῦ ζῆν ἀνα-παύομαι, *fut.* παύσομαι (ζάω, ῶ, *fut.* ζήσομαι). Il a lui-même terminé ses jours, ἑαυτὸν τοῦ βίου ἐξ-ήγαγε (ἐξ-άγω, *fut.* ἄξω). Passer *ou* couler d'heureux jours, εὐημερέω, ῶ, *fut.* ήσω : ἐν εὐδαιμονίᾳ δι-άγω, *fut.* ἄξω : εὐδαιμονίᾳ συ-ζάω, ῶ, *fut.* ζήσω. ‖ De nos jours, ἐν τῷ καθ' ἡμᾶς χρόνῳ, *ou simplement* καθ' ἡμᾶς : ἐφ' ἡμῶν. Jusqu'à nos jours, εἰς ἡμᾶς : ἄχρι τοῦ νῦν : μέχρι τοῦδε. On montre encore de nos jours ce monument, δείκνυται καὶ εἰς ἡμᾶς τὸ μνῆμα (δείκνυμι, *fut.* δείξω).

Jour, *lumière*, φῶς, *gén.* φωτός (τὸ) : αὐγή, ῆς (ἡ). Donner du jour, φωτίζω, *fut.* ίσω, *acc.* : δι-αυγάζω, *fut.* άσω, *acc.* Qui a du jour, διαυγής, ής, ές. Faux jour, τὸ ἄκαιρον φῶς. ‖ Mettre au jour, εἰς τὸ φῶς ἄγω, *fut.* ἄξω, *acc.* Lorsque je vis le jour, ὡς εἰς τὸ φῶς ἤχθην. Celle qui vous donna le jour, ἡ σ' ἔτικε μήτηρ (τίκτω, *fut.* τέξομαι). Mettre un livre au jour, βιβλίον ἐκ-δίδωμι, *fut.* δώσω, *acc.* Jamais mon livre ne verra le jour, οὐ μήποτε ἐκ-δοθῇ τὸ σύγγραμμα τὸ ἐμόν. Paraître *ou* se montrer au grand jour, ἐκ προδήλου φαίνομαι, *fut.* φανήσομαι. ‖ Mettre une pensée dans tout son jour, καλῶς τὴν διάνοιαν ἐκ-τίθεμαι, *fut.* ἐκ-θήσομαι *ou* ἀπο-δείκνυμαι, *fut* δείξομαι.

Jour, *ouverture*, διάφασις, εως (ἡ) : ὀπή, ῆς (ἡ). Percer à jour, δια-πείρω, *fut.* περῶ, *acc.* ‖ *Au fig.* Se faire jour l'épée à la main, τὴν ὁδὸν τῷ ξίφει τέμνω, *fut.* τεμῶ. Se faire jour à travers les ennemis, διὰ τῶν πολεμίων διεξ-έρχομαι, *fut.* ελεύσομαι. Trouver jour à s'échapper, ἀφορμὴν φυγῆς λαμβάνω, *fut.* λήψομαι, *acc.*

JOURNAL, *s. m. écrit rédigé jour par jour*, ἐφημερίς, ίδος (ἡ). Tenir un journal de quelque chose, ἡμερολογέω, ῶ, *fut.* ήσω, *acc.* Tenir un journal exact de ce qui se passe, ἀκριβῶς τὰ καθ' ἡμέραν πάντα ἀπο-γράφω, *fut.* γράψω *ou* ἀπο-γράφομαι, *fut.* γράψομαι.

Journal, *mesure de terre* πλέθρον, ου (τὸ).

JOURNALIER, ière, *adj. quotidien*, καθημερινός, ή, όν : ἐφημερινός, ή, όν. *On tourne plus souvent par* ὁ, ἡ, τὸ καθ' ἡμέραν. Ses occupations journalières, αἱ καθ' ἡμέραν αὐτοῦ διατριβαί, ῶν. ‖ *Capricieux, changeant*, εὐμετάβολος, ος, ον : ἀλλοπρόσαλλος, ος, ον. Les armes sont journalières, *tournez*, Mars est commun, κοινός ἐστιν ὁ Ἄρης.

JOURNALIER, *s. m. ouvrier*, χειρῶναξ, ακτος (ὁ) : ἐργάτης, ου (ὁ).

JOURNALISTE, *s. m.* ὁ τὰς ἐφημερίδας συρ-ράπτων, οντος (*part. de* συρ-ράπτω, *fut.* ῥάψω).

JOURNÉE, *s. f. espace d'un jour*, ἡμέρα, ας (ἡ). Passer la journée près du feu, πρὸς τὸ πῦρ ἡμερεύω, *fut.* εύσω. Qui vit au jour la journée, ἡμερόβιος, ος, ον. Qui dure une journée, ἡμερήσιος, ος *ou* α, ον. ‖ *Chemin qu'on fait en un jour*, ἡ ἡμερησία ὁδός, οῦ. Faire trois journées, τριῶν ἡμερῶν ὁδὸν πορεύομαι, *fut.* εύσομαι. Il est à dix journées de la ville, δέκα ἡμερῶν ὁδὸν τῆς πόλεως ἀπέχει (ἀπ-έχω, *fut.* ἀφ-έξω). A grandes journées, τῇ ἐνεργῷ πορείᾳ. ‖ *Travail d'un jour*, ὁ ἡμερήσιος πόνος, ου. Prix de ce travail,

ὁ ἡμερήσιος μισθός, οῦ : τὸ ἡμερήσιον, ου. Payer à un ouvrier sa journée, τῷ ἐργάτῃ τὸ ἡμερήσιον δίδωμι, *fut.* δώσω. Louer à la journée, καθ' ἡμέραν μισθόω, ῶ, *fut.* ώσω, *acc.* || *Bataille*, μάχη, ης (ἡ). La journée de Marathon, ἡ ἐν Μαραθῶνι μάχη. Il eut l'avantage dans cette journée, τὴν μάχην ἐκράτησε (κρατέω, ῶ, *fut.* ήσω).

JOURNELLEMENT, *adv.* καθ' ἡμέραν : ἀνὰ πᾶσαν ἡμέραν. Ce que l'on fait journellement, τὰ καθ' ἡμέραν.

JOUTE, *s. f.* ἀγών, ῶνος (ὁ) : ἅμιλλα, ης (ἡ). Joute sur l'eau, ναυμαχία, ας (ἡ).

JOUTER, *v. n.* — contre quelqu'un, τινὶ *ou* πρός τινα ἀγωνίζομαι, *fut.* ίσομαι, *ou* ἁμιλλάομαι, ῶμαι, *fut.* ήσομαι. Jouter sur l'eau, ναυμαχέω, ῶ, *fut.* ήσω.

JOUTEUR, *s. m.* ἀγωνιστής, οῦ (ὁ).

JOUVENCEAU, *s. m.* μειράκιον, ου (τὸ) : νεανίσκος, ου (ὁ) : ἔφηβος, ου (ὁ).

JOVIAL, ALE, *adj.* ἱλαρός, ά, όν (*comp.* ώτερος, *sup.* ώτατος).

JOYAU, *s. m.* κειμήλιον, ου (τὸ).

JOYEUSEMENT, *adv.* φαιδρῶς.

JOYEUX, EUSE, *adj. rempli de joie*, περιχαρής, ής, ές. Être joyeux, χαίρω, *fut.* χαιρήσω : ἥδομαι, *fut.* ἡσθήσομαι — de quelque chose, τινί *ou* ἐπί τινι. || *Gai, de bonne humeur*, ἱλαρός, ά, όν (*comp.* ώτερος, *sup.* ώτατος). Rendre joyeux, ἱλαρόω, ῶ, *fut.* ώσω, *acc.* : εὐφραίνω, *fut.* ανῶ, *acc.*

JUBÉ, *s. m. espèce de tribune dans une église*, ἄμβων, ωνος (ὁ).

JUBILATION, *s. f.* ἀγαλλίασις, εως (ἡ). Être en jubilation, ἀγαλλιάω, ῶ, *fut.* άσω.

JUBILÉ, *s. m. année de rémission*, ὁ τῆς ἀφέσεως ἐνιαυτός, οῦ, *Bibl.*

JUCHER, *v. n. ou* SE JUCHER, *v. r.* καθ-ίζω, *fut.* καθ-ίσω. — sur un arbre, ἐπὶ δένδρου.

JUCHOIR, *s. m.* πέταυρον, ου (τὸ) : χάμαξ, ακος (ἡ), *Géop.*

JUDAIQUE, *adj.* ἰουδαϊκός, ή, όν.

JUDAISER, *v. n.* ἰουδαΐζω, *fut.* ίσω.

JUDAISME, *s. m.* ἰουδαϊσμός, οῦ (ὁ).

JUDICATURE, *s. f.* τὸ δικαστικόν, οῦ. Qui concerne la judicature, δικαστικός, ή, όν. Exercer la judicature, δικάζω, *fut.* άσω.

JUDICIAIRE, *adj.* δικαστικός, ή, όν. || Genre judiciaire, *en rhétorique*, τὸ δικανικὸν εἶδος, ους.

JUDICIAIRE, *s. f. faculté intellectuelle*, κριτήριον, ου (τὸ). Doué d'une excellente judiciaire, κριτικώτατος, η, ον.

JUDICIAIREMENT, *adv.* δικαστικῶς.

JUDICIEUSEMENT, *adv.* φρονίμως : νουνεχόντως : συνετῶς.

JUDICIEUX, EUSE, *adj.* φρόνιμος, η, ον (*comp.* ώτερος, *sup.* ώτατος : συνετός, ή, όν (*comp.* ώτερος, *sup.* ώτατος) : νοῦν ἔχων, ουσα, ον (*partic. d'*ἔχω, *fut.* ἕξω). Être *ou* se montrer judicieux, ὀρθῶς φρονέω, ῶ, *fut.* ήσω.

JUGE, *s. m. qui décide d'une chose*, κριτής, οῦ (ὁ). *Au fém.* κριτίς, ίδος (ἡ). Bon juge, ὁ κριτικός, οῦ. Excellent juge dans cette matière, τούτων κριτικώτατος, ου. Juge sévère, κριτὴς ἀκριβέστατος *ou* ἀκριβοδίκαιος, ου (ὁ). || Prendre quelqu'un pour juge d'un différend, τινὰ περί τινος κριτὴν αἱρέομαι, οῦμαι, *fut.* αἱρήσομαι : δίαιτάν τινι περί τινος ἐπι-τρέπω, *fut.* τρέψω. Juge choisi par les parties intéressées, διαιτητής, οῦ (ὁ). *Voyez* ARBITRE.

JUGE, *qui administre la justice*, δικαστής, οῦ (ὁ). *Au fém.* δικάστρια, ας (ἡ). Juge en première instance, προδικαστής, οῦ (ὁ). Juge en matière capitale, ὁ περὶ θάνατον δικαστής, οῦ. Être juge, δικάζω, *fut.* άσω. — dans une affaire, περί τινος. Ils sont à la fois juges et parties, *tournez*, les coupables sont juges, αὐτοὶ οἱ ἀδικήσαντες δικάζουσι (ἀδικέω, ῶ, *fut.* ήσω). Ce sont des juges mercenaires, μισθοῦ *ou* ἐπὶ μισθῷ δικάζουσι.

JUGEMENT, *s. m. examen d'une affaire en justice*, κρίσις, εως (ἡ) : διαδικασία, ας (ἡ). Jugement d'une affaire, ἡ περὶ τῆς δίκης κρίσις, εως. Jugement d'un accusé, ἡ περὶ τοῦ φεύγοντος κρίσις, εως (ἡ). Appeler en jugement, εἰς δίκην καλέομαι, οῦμαι, *fut.* καλέσομαι, *acc.* : εἰς τοὺς δικαστὰς ἄγω, *fut.* ἄξω, *acc.* || *Sentence prononcée par le juge*, κρίσις, εως (ἡ) : ψῆφος, ου (ἡ). Jugement favorable à l'accusé, ἡ σώζουσα ψῆφος, ου (*partic. de* σώζω, *fut.* σώσω). Jugement contraire, ἡ ἐναντία ψῆφος, ου. Jugement juste ou injuste, δικαία ἢ ἄδικος ψῆφος, ου. Jugement qui n'en est pas un, nul *ou* non avenu, ἡ μὴ οὖσα ψῆφος, ου (*partic. d'*εἰμί, *fut.* ἔσομαι). Rendre un jugement, δικάζω, *fut.* άσω. Le jugement n'est pas encore

rendu, κρίσις οὕτω γέγονε (γίνομαι, *fut.* γενήσομαι). Sans jugement, ἀκρίτως.

JUGEMENT, *examen*, κρίσις, εως (ἡ) : ἐξέτασις, εως (ἡ). — sur un ouvrage, τοῦ συγγράμματος. || *Opinion*, δόξα, ης (ἡ) : γνώμη, ης (ἡ). A mon jugement, κατ' ἐμέγε τὴν δόξαν *ou* τὴν γνώμην : ὡς ἔγωγε γινώσκω (*fut.* γνώσομαι). Porter un jugement sur une chose, περί τινος γινώσκω, *fut.* γνώσομαι.

JUGEMENT, *faculté de juger dans notre esprit*, κριτήριον, ου (τὸ). || *Exercice de cette faculté*, κρίσις, εως (ἡ). Jugement sain, ἡ ὀρθὴ κρίσις, εως. || *Prudence, sagesse*, φρόνησις, εως (ἡ) : σύνεσις, εως (ἡ) : νοῦς, οῦ (ὁ). Avoir du jugement, φρονέω, ῶ, *fut.* ήσω : σύνεσιν *ou* νοῦν ἔχω, *fut.* ἕξω. Qui a du jugement, φρόνιμος, ος *ou* η, ον (*comp.* ώτερος, *sup.* ώτατος) : συνετός, ή, όν (*comp.* ώτερος; *sup.* ώτατος). Qui manque de jugement, ἄφρων, ων, ον, *gén.* ονος (*comp.* ονέστερος, *sup.* ονέστατος) : ἀσύνετος, ος, ον (*comp.* ώτερος, *sup.* ώτατος) : ἀνόητος, ος, ον (*comp.* ότερος, *sup.* ότατος). Être dénué de jugement, ἀφρόνως *ou* ἀσυνέτως *ou* ἀνοήτως ἔχω, *fut.* ἕξω, *ou* διά-κειμαι, *fut.* κείσομαι.

JUGER, *v. a. examiner une affaire en justice*, κρίνω, *fut.* κρινῶ, *acc.* Juger une affaire, τὴν δίκην *ou* περὶ τῆς δίκης κρίνω, *fut.* κρινῶ. Juger un accusé, τὸν φεύγοντα κρίνω, *fut.* κρινῶ. L'affaire n'est pas jugée, ἄκριτόν ἐστι τὸ πρᾶγμα. || *v. n. Rendre la justice, prononcer une sentence*, δικάζω, *fut.* άσω. Juger en faveur de quelqu'un, τὴν δίκην τινὶ ἐπι-δικάζω, *fut.* άσω, *ou* ἐπι-κρίνω, *fut.* κρινῶ. Juger contre quelqu'un, τινὸς κατα-δικάζω, *fut.* άσω, *ou* κατα-κρίνω, *fut.* κρινῶ.

JUGER, *porter un jugement sur quelque chose*, κρίνω, *fut.* κρινῶ : γινώσκω, *fut.* γνώσομαι. Autant que j'en puis juger, ὅσον κρίνειν ἐπ' ἐμοί ἐστι : ὡς ἔγωγε γινώσκω. Juger d'un autre par soi-même, ἄλλον ἐξ ἐμαυτοῦ κρίνω, *fut.* κρινῶ. Juger du bonheur par la fortune, πρὸς τὸ ἀργύριον τὴν εὐδαιμονίαν κρίνω. On peut juger par là, ἐκ τούτων κατ-ιδεῖν ἔστιν *ou* κατ-ίδοις ἄν (καθ-οράω, ῶ, *fut.* κατ-όψομαι). Jugez combien, ἐν-θυμήθητι ὅσον *ou* ὁπόσον (ἐν-θυμέομαι, οῦμαι, *fut.* ήσομαι). || Juger à propos, juger convenable, ἀξιόω, ῶ, *fut.* ώσω, *acc.* Si vous le jugez à propos, εἴ σοι δοκεῖ (δοκέω, ῶ, *fut.* δόξω).

JUGULAIRE, *adj.* Veine jugulaire, ἡ σφαγῖτις φλέψ, εβός, *ou simplement* ἡ σφαγῖτις, ιδος.

JUILLET, *s. m.* ἰούλιος, ου (ὁ), *G. M.*

JUIN, *s. m.* ἰούνιος, ου (ὁ), *G. M.*

JUJUBE, *s. m.* λωτοῦ καρπός, οῦ (ὁ) *Hom.* : λωτός, οῦ (ὁ), *Hom.*

JUJUBIER, *s. m.* λωτός, οῦ (ὁ), *Hom.*

JULEP, *s. m.* χύλισμα, ατος (τὸ).

JUMEAU, ELLE, *adj.* δίδυμος, ος, ον, *ou s'il y en a trois*, τρίδυμος, ος, ον. Deux jumeaux, οἱ δίδυμοι, ων. Enfanter deux jumeaux, διδυμοτοκέω, ῶ, *fut.* ήσω. Trois frères jumeaux, οἱ τρίδυμοι, ων.

JUMENT, *s. f.* ἵππος, ου (ἡ).

JUPE, *s. f.* JUPON, *s. m.* χιτώνιον, ου (τὸ).

JURATOIRE, *adj.* ἔνορκος, ος, ον.

JURÉ, ÉE, *adj. engagé par serment*, ἔνορκος, ος, ον : ἐνώμοτος, ος, ον. || Ennemi juré, ὁ ἀδιάλλακτος ἐχθρός, οῦ.

JURÉ, *s. m. citoyen prenant part à un jugement*, ὁ δικάζων πολίτης, ου (*partic. de* δικάζω, *fut.* άσω). Jugement par jurés, ἡ διὰ τῶν πολιτῶν δίκη, ης.

JUREMENT, *s. m. serment*, ὅρκος, ου (ὁ). || *Imprécation*, βλασφημία, ας (ἡ).

JURER, *v. a. et n. faire un serment*, ὄμνυμι, *fut.* ὀμοῦμαι, *acc.* — de faire quelque chose, πράξειν τι *ou* ἦ μὴν τι πράξειν. Je jure par tous les dieux de dire la vérité, πάντας τοὺς θεοὺς ὄμνυμι τ' ἀληθὲς ἐρεῖν (λέγω, *fut.* λέξω *ou* ἐρῶ). Ils ont juré avec moi de délivrer la Grèce, ἐμοὶ συν-ώμοσαν τὴν Ἑλλάδα ἐλευθερώσειν (συν-όμνυμι, *fut.* ομοῦμαι : ἐλευθερόω, ῶ, *fut.* ώσω). Jurer sur la tête de ses enfants, κατὰ τῶν παίδων ὄμνυμι, *fut.* ὀμοῦμαι. Jurer par tous les dieux, πάντας τοὺς θεοὺς ὄμνυμι. Jurer sur son âme, κατ' ἐξωλείας ὄμνυμι. Jurer à tout propos, jurer en vain *ou* pour des causes légères, ἐπὶ τοῖς τυχοῦσιν ὄμνυμι. Sans jurer, ἀνωμοτεί.

JURER, *blasphémer*, εἰς Θεὸν βλασφημέω, ῶ, *fut.* ήσω. En jurant, μετὰ βλασφημίας.

JURER, *ne pas s'accorder*, δια-φωνέω, ῶ, *fut.* ήσω : ἀναρμοστέω, ῶ, *fut.* ήσω : ἀφ-αρμόζω, *fut.* όσω. Ces choses jurent, ταῦτα οὐ συμ-φωνεῖ ἀλλήλοις (συμ-φωνέω, ῶ, *fut.* ήσω).

JUREUR, *s. m.* βλάσφημος, ου (ὁ).

JURI, *s. m.* *citoyens prenant part à un jugement*, οἱ δικάζοντες πολῖται, ῶν (δικάζω, *fut.* άσω). || *Commission d'examen*, ἐξετασταί, ῶν (οἱ).

JURIDICTION, *s. f.* δικαιοδοσία, ας (ἡ). || Être soumis à la juridiction de quelqu'un, τινὶ ὑπόδικός εἰμι, *fut.* ἔσομαι.

JURIDIQUE, *adj.* νομικός, ή, όν.

JURIDIQUEMENT, *adv.* νομικῶς.

JURISCONSULTE, *s. m.* ὁ δικανικός, οῦ : ὁ νομικός, οῦ.

JURISPRUDENCE, *s. f.* *science du jurisconsulte*, ἡ δικανική, ῆς. || *Législation*, *lois*, νόμοι, ων (οἱ).

JURISTE, *s. m.* ὁ δικανικός, οῦ.

JURON, *s. m.* βλασφημία, ας (ἡ).

JUS, *s. m.* *suc des herbes ou des fruits*, χυλός, οῦ (ὁ). Jus exprimé, χύλισμα, ατος (τὸ) : ὀπός, οῦ (ὁ). Qui a beaucoup de jus, πολύχυλος, ος, ον : πολύοπος, ος, ον. Le jus de la vigne ou de la treille, τὸ τῆς σταφυλῆς ἀπόσταγμα, ατος. || *Suc de la viande exprimé par la cuisson*, χυμός, οῦ (ὁ) : ζωμός, οῦ (ὁ).

JUSANT, *s. m.* *reflux*, ἄμπωτις, εως (ἡ).

JUSQUE, *ou* JUSQUES, *prép.* ἄχρι *ou* μέχρι *devant une consonne* : ἄχρις *ou* μέχρις *devant une voyelle. Le régime au gén.* Jusqu'à Suse, μέχρι Σούσων. Jusqu'au ciel, οὐρανοῦ μέχρι. Jusqu'à satiété, ἄχρι κόρου. Jusqu'ici, *jusqu'à ce lieu*, μέχρις ἐνταῦθα. Jusqu'ici, *jusqu'à ce temps*, μέχρι τοῦδε : μέχρι τοῦ νῦν. Jusqu'à ce que, ἕως *ou* μέχρις οὗ, *avec le futur* : ἕως *ou* ἕως ἄν *ou* μέχρις οὗ ἄν, *avec le subj.* Jusqu'à ce qu'il vienne, ἕως ἄν ἔλθῃ : *quelquefois* μέχρις ἕως ἔλθῃ (ἔρχομαι, *fut.* ἐλεύσομαι). Jusques à quand? μέχρι τίνος ; μέχρι τοῦ ; μέχρις οὗ ; Jusques à quand nous insulterez-vous? μέχρις οὗ ἡμῖν ὀνειδιεῖς (ὀνειδίζω, *fut.* ίσω) ;

JUSQUIAME, *s. f.* *plante*, ὑοσκύαμος, ου (ὁ).

JUSSION, *s. f.* πρόσταγμα, ατος (τὸ).

JUSTAUCORPS, *s. m.* ἱμάτιον, ου (τὸ).

JUSTE, *adj.* *équitable*, δίκαιος, α, ον (*comp.* ότερος, *sup.* ότατος). Aristide le Juste, Ἀριστείδης ὁ δίκαιος. Ce que vous demandez est juste, δίκαια αἰτεῖς (αἰτέω, ῶ, *fut.* ήσω). Il est juste que, δίκαιόν ἐστι *ou* δικαίως ἔχει τὸ, *avec l'infin.* Il est juste que je vous punisse, δίκαιός εἰμί σε κολάζειν (κολάζω, *fut.* άσω), *Aristph.* Il est juste que vous repreniez votre argent, ἀπο-λαβεῖν τὸ ἀργύριον δίκαιος εἶ (ἀπο-λαμβάνω, *fut.* λήψομαι), *Aristph.* Regarder comme juste, δικαιόω, ῶ, *fut.* ώσω, *acc.* : ἀξιόω, ῶ, *fut.* ώσω, *acc.* Ils trouvent juste que nous commencions la guerre, δικαιοῦσιν *ou* ἀξιοῦσιν ἡμᾶς τοῦ πολέμου ἄρχειν (ἄρχω, *fut.* ἄρξω).

JUSTE, *exact*, *qui a de la justesse*, ἀκριβής, ής, ές (*comp.* έστερος, *sup.* έστατος) : ὀρθός, ή, όν (*comp.* ότερος, *sup.* ότατος). Esprit juste, ὁ ἀκριβὴς νοῦς, *gén.* νοῦ. || Juste prix, ἡ ἱκανὴ τιμή, ῆς. Habit juste, ἡ ἱκνουμένη ἐσθής, ῆτος (*partic. de* ἱκνέομαι, οῦμαι, *fut.* ἵξομαι). Soulier juste, ὑπόδημα πρὸς τὸν πόδα ὄν, *gén.* ὄντος (*partic. d'*εἰμί, *fut.* ἔσομαι).

JUSTE, *adv.* ἀκριβῶς (*comp.* έστερον, *sup.* έστατα) : ὀρθῶς (*comp.* ότερον, *sup.* ότατα). Connaître au juste, ἀκριβόω, ῶ, *fut.* ώσω, *acc.* Compter juste, *ou* raisonner juste, ὀρθῶς λογίζομαι, *fut.* ίσομαι. Penser juste, ὀρθῶς φρονέω *ou* εὖ φρονέω, ῶ, *fut.* ήσω. Chanter juste, ἐν μέλει ᾄδω, *fut.* ᾄσομαι. || Bien juste, *tout au plus*, σχολῇ : μόλις *ou* μόγις. || Au juste, ἀκριβῶς : σαφῶς : εἰς τὸ ἀκριβέστατον.

JUSTEMENT, *adv.* *avec équité*, δικαίως. Agir justement, δικαιοπραγέω, ῶ, *fut.* ήσω. || *Précisément*, ἀκριβῶς. Vous êtes venu justement à propos, μάλιστα ἐν τῷ καιρῷ ἦλθες (ἔρχομαι, *fut.* ἐλεύσομαι). Il partit justement comme tu arrivais, ἅμα τῇ σῇ ἀφίξει *ou* εὐθύς σου ἀφ-ικομένου ἀπ-ῆλθε (ἀπ-έρχομαι, *fut.* ἀπ-ελεύσομαι : ἀφ-ικνέομαι, οῦμαι, *fut.* ἵξομαι).

JUSTESSE, *s. f.* ἀκρίβεια, ας (ἡ). Avec justesse, ἀκριβῶς : ὀρθῶς. Qui parle avec justesse, ἀκριβολόγος, ου (ὁ, ἡ). Répondre avec beaucoup de justesse, εἰς τὸ ἀκριβέστατον ἀποκρίνομαι, *fut.* κρινοῦμαι.

JUSTICE, *s. f.* *vertu*, δικαιοσύνη, ης (ἡ). Dans la justice sont renfermées toutes les vertus, ἐν δικαιοσύνῃ συλλήβδην πᾶσα ἀρετή ἐστι. Observer la justice, τὴν δικαιοσύνην ἀσκέω, ῶ, *fut.* ήσω. Agir avec justice, δικαίως ποιέω, ῶ, *fut.* ήσω : δίκαια πράσσω, *fut.* πράξω : δικαιοπραγέω, ῶ, *fut.* ήσω. La justice me permet de faire cela, δίκαιός εἰμι ταῦτα ποιεῖν (ποιέω, ῶ, *fut.* ήσω). Rendre justice à celui qui est offensé, τῷ ἀδικουμένῳ δικάζω, *fut.*

άσω. Demander justice, *c'est-à-dire* vengeance, τιμωρίαν αἰτέω, ῶ, *fut.* ήσω, *ou* αἰτέομαι, οῦμαι, *fut.* ήσομαι. — à quelqu'un, τινά. — de quelqu'un *ou* contre quelqu'un, κατά τινος. Demander justice d'un meurtre, δίκην τοῦ φόνου ἀπ-αιτέω, ῶ, *fut.* ήσω. On lui a fait justice, *tournez*, il a joui de ses droits, τῶν ἑαυτοῦ δικαίων ἔτυχε (τυγχάνω, *fut.* τεύξομαι). Se faire justice par ses propres mains, ἐμαυτὸν ἐκ-δικέω, ῶ, *fut.* ήσω.

Justice, *jugement*, δίκη, ης (ἡ). Rendre la justice, δικαιοδοτέω, ῶ, *fut.* ήσω : δικάζω, *fut.* άσω. La vendre, μισθοῦ δικάζω. Appeler *ou* mettre en justice, εἰς δίκην καλέομαι, οῦμαι, *fut.* καλέσομαι, *acc.* On ne recherchait pas les auteurs, on ne les mettait pas en justice, τῶν δρασάντων οὔτε ζήτησις, οὔτε δικαίωσις ἐγίνετο (γίνομαι, *fut.* γενήσομαι), *Thuc.* Livrer à la justice, τοῖς δικασταῖς *ou* τῷ δικαστηρίῳ παρα-δίδωμι, *fut.* δώσω, *acc.* Il est entre les mains de la justice, τοῖς δικασταῖς παρα-δίδοται (*parf. passif de* παρα-δίδωμι). || Gens de justice, οἱ περὶ τὰ δικαστήρια : οἱ ἀπὸ τῶν δικαστηρίων : *en parlant des juges*, δικασταί, ῶν (οἱ) : *en parlant des avocats, etc.* : οἱ δικανικοί, ῶν.

JUSTICIABLE, *adj.* ὑπόδικος, ος, ον, *dat.* : ὑπεύθυνος, ος, ον, *dat.*

JUSTICIER, *s. m. qui rend la justice*, δικασπόλος, ου (ὁ). || *Qui aime la justice*, φιλοδίκαιος, ου (ὁ).

JUSTICIER, *v. a. punir selon les lois*, δικαιόω, ῶ, *fut.* ώσω, *acc.*

JUSTIFIABLE, *adj.* εὐαπολόγητος, ος, ον : εὐπροφάσιστος, ος, ον.

JUSTIFICATIF, IVE, *adj.* ἀπολογητικός, ή, όν. Pièces justificatives, δικαιώματα, ων (τά).

JUSTIFICATION, *s. f. dans le sens théologique*, δικαίωσις, εως (ἡ), *Bibl.* || *Excuse, défense*, ἀπολογία, ας (ἡ). Voilà ce que je dis pour ma justification, ταῦτα ὑπὲρ ἐμαυτοῦ ἀπο-λογέομαι, *ou simplement* ταῦτα ἀπο-λογέομαι, οῦμαι, *fut.* ήσομαι.

JUSTIFIER, *v. a. rendre juste, dans le sens théologique*, δικαιόω, ῶ, *fut.* ώσω, *acc.* || *Déclarer innocent*, τῆς αἰτίας ἀπ-αλλάσσω, *fut.* αλλάξω, *ou* ἀπο-λύω, *fut.* λύσω, *acc.* || *Excuser, défendre*, ἀπο-λογέομαι, οῦμαι, *fut.* ήσομαι. — quelqu'un, ὑπέρ τινος. — la conduite de quelqu'un, περὶ τῶν τινι πεπραγμένων, *ou quelquefois sans préposition*, τά τινι πεπραγμένα. Il ne vous est pas aisé de vous en justifier, οὐκ εὐαπολόγητόν σοι τοῦτο. || *Rendre vraisemblable*, πιστόομαι, οῦμαι, *fut.* ώσομαι, *acc.* Il justifiait la renommée par ses actions, ἔργοις τὴν δόξαν ἐπιστοῦτο. L'événement justifie cette imputation, πιστοῦται τὴν διαβολὴν ἡ ἀπόβασις, *Hérodn.*

JUTEUX, EUSE, *adj. en parlant des viandes*, χυλώδης, ης, ες. *En parlant des végétaux*, ὀπώδης, ης, ες. *En parlant des fruits, etc.* ὑγρός, ά, όν (*comp.* ότερος, *sup.* ότατος).

K

KAN, *s. m. prince tartare*, ἡγεμών, όνος (ὁ) : ταγός, οῦ (ὁ).

KARABÉ, *s. m. ambre jaune*, ἤλεκτρον, ου (τὸ).

KERMÈS, *s. m. insecte*, κόκκος, ου (ὁ), *Théophr.* : τὸ τῆς πρίνου ἄνθος, ους, *Plut.* Teint en écarlate avec le kermès, κοκκοβαφής, ής, ές, *Clém. Al.* : κοκκινοβαφής, ής, ές, *Athén.* : κόκκινος, η, ον, *Arr.*

KIOSQUE, *s. m. petit pavillon*, σκηνίδιον, ου (τὸ) : σκηνημάτιον, ου (τὸ) : οἰκίδιον, ου (τὸ).

KYNANCIE, *s. f. inflammation de la gorge*, κυνάγχη, ης (ἡ).

KYRIELLE, *s. f. litanie*, λιτανεία, ας (ἡ). || *Longue suite de choses semblables*, εἱρμός, οῦ (ὁ) : ἐπαλληλία, ας (ἡ) : συνέχεια, ας (ἡ). *On tourne mieux par les adjectifs* continu, successif, συνεχής, ής, ές : ἐπάλληλος, ος, ον. Kyrielle d'injures, αἱ ἐπάλληλοι βλασφημίαι, ῶν. Kyrielle de louanges, οἱ συνεχεῖς ἔπαινοι, ων.

Kyrielle de plaintes, *tournez*, une Iliade de maux, κακῶν Ἰλιάς, άδος (ἡ).

KYSTE, *s. m. membrane en forme de vessie pleine d'humeurs*, κύστις, εως (ἡ).

L

LAB

LA, *artic. et pron. voyez* **Le**.

LA, *adv. de lieu, sans mouvement*, ἐκεῖ. — *avec mouvement*, ἐκεῖσε. De là, ἐκεῖθεν. Par là, ἐκείνῃ. Çà et là, ἔνθα καὶ ἔνθα : ἔνθεν καὶ ἔνθεν : τῇδε κἀκείνῃ : *avec mouvement*, δεῦρο κἀκεῖσε. Courir çà et là, δεῦρο κἀκεῖσε περι-τρέχω, *fut.* δραμοῦμαι. Par-ci par-là, ἔνθα καὶ ἔνθα : ἑκαχοῦ. Par-ci par-là, *de temps en temps*, ἔστιν ὅτε : ἐνίοτε. Celui-là, celle-là, ἐκεῖνος, η, ον. Ce lieu-là, ἐκεῖνος ὁ τόπος, ου. *Quand rien n'oblige de distinguer* celui-là *de* celui-ci, *on emploie souvent* οὗτος, αὕτη, τοῦτο, *dont l'adverbe de lieu est* ἐνταῦθα. Je suis de cette opinion-là, ταύτην τὴν γνώμην ἔχω, *fut.* ἕξω. Celui-là est sage qui, οὗτος εὖ φρονεῖ (φρονέω, ῶ, *fut.* ήσω), ὅστις, *indic.* Les choses en sont venues là que, εἰς τοῦτο *ou* ἐνταῦθα περιέστηκε τὰ πράγματα (ἕστηκα, *parf. de* ἵσταμαι), ὥστε, *infin.* C'est par là que nous différons des animaux, τοῦτο γάρ ἐστιν ᾧ τῶν ἀλόγων δια-φέρομεν (δια-φέρω, *fut.* δι-οίσω). || Là-dessus, *touchant ces choses*, περὶ τούτων. || Là-dessus, *sur ces entrefaites*, ἐν τῷ μεταξύ.

LABEUR, *s. m.* πόνος, ου (ὁ) : μόχθος, ου (ὁ) : κάματος, ου (ὁ).

LABIAL, ALE, *adj.* Lettres labiales, γράμματα τὰ τοῖς χείλεσιν ἐκ-φωνούμενα, ων (*partic. passif d'*ἐκ-φωνέω, ῶ, *fut.* ήσω).

LABILE, *adj.* ὀλισθηρός, ά, όν.

LABORATOIRE, *s. m.* ἐργαστήριον, ου (τὸ).

LABORIEUSEMENT, *adv.* ἐπιπόνως.

LABORIEUX, EUSE, *adj qui travaille beaucoup*, φιλόπονος, ος, ον. || *Qui exige du travail*, ἐπίπονος, ος, ον.

LABOUR, *s. m.* ἄροσις, εως (ἡ). Terre en labour, ἄρουρα, ας (ἡ).

LABOURABLE, *adj.* ἀρόσιμος, ος, ον.

LABOURAGE, *s. m. action de labourer*, ἄροσις, εως (ἡ) : ἄροτος, ου (ὁ). Saison du

LAC

labourage, ἀροτός, οῦ (ὁ). || *Art de cultiver la terre*, γεωργία, ας (ἡ). S'occuper du labourage, γεωργέω, ῶ, *fut.* ήσω.

LABOURER, *v. a. et n.* ἀρόω, ῶ, *fut.* ἀρόσω, *acc.* Terre labourée, ἄρουρα, ας (ἡ).

LABOUREUR, *s. m. celui qui laboure*, ἀρότης, ου (ὁ). || *Cultivateur*, γεωργός, οῦ (ὁ).

LABYRINTHE, *s. m.* λαβύρινθος, ου (ὁ). Semblable à un labyrinthe, λαβυρινθώδης, ης, ες.

LAC, *s. m.* λίμνη, ης (ἡ).

LACER, *v. a.* ζώννυμι, *fut.* ζώσω, *acc.*

LACERON, *s. m. plante*, σόγκος *ou* σόγχος, ου (ὁ).

LACÉRATION, *s. f.* σπαραγμός, οῦ (ὁ).

LACÉRER, *v. a.* σπαράσσω, *fut.* άξω, *acc.*

LACET, *s. m. cordon qui sert à lacer*, σφαιρωτήρ, ῆρος (ὁ). || *Nœud pour étrangler*, βρόχος, ου (ὁ).

LACHE, *adj. qui n'est pas tendu*, χαλαρός, ά, όν (*comp.* ώτερος, *sup.* ώτατος) : ἀν-ειμένος, η, ον (*partic. parf. passif d'*ἀν-ίημι, *fut.* ἀν-ήσω). || *Paresseux*, ἀν-ειμένος, η, ον (*comme ci-dessus*) : ῥᾴθυμος, ος, ον (*comp.* ότερος, *sup.* ότατος) : ὀκνηρός, ά, όν (*comp.* ότερος, *sup.* ότατος). || *Poltron*, ἄνανδρος, ος, ον (*comp.* ότερος, *sup.* ότατος) : δειλός, ή, όν (*comp.* ότερος, *sup.* ότατος). || *Vil, méprisable*, φαῦλος, η, ον (*comp.* ότερος, *sup.* ότατος). Un lâche coquin, φαυλόβιός τις καὶ εὐτιδανός, οῦ.

LACHEMENT, *adv. de manière à ne point serrer*, χαλαρῶς : ἀνειμένως. || *Négligemment*, ἀνειμένως : ῥᾳθύμως : ὀκνηρῶς. || *Sans courage*, ἀνάνδρως. || *Bassement*, φαύλως.

LACHER, *v. a. détendre*, χαλάω, ῶ, *fut.* χαλάσω, *acc.* : ἀν-ίημι, *fut.* ἀν-ήσω, *acc.* || *Laisser aller*, ἀφ-ίημι, *fut.* ἀφ-ήσω, *acc.* Lâcher la bride à quelqu'un, ἡνίας τινὶ ἀν-ίημι. Lâcher ou relâcher un prisonnier, τῶν δεσμῶν τινα ἀφ-ίημι *ou* ἀν-ίημι. Lâcher les chiens sur quelqu'un, κύνας τινὶ ἐπαφ-ίημι. || Lâcher

une parole, φωνὴν ἀφ-ίημι, *fut.* ἀφ-ήσω. || Lâcher le pied, ἐπὶ πόδα ἀνα-χωρέω, ῶ, *fut.* ήσω. || Lâcher *ou* relâcher le ventre, τὴν κοιλίαν λύω, *fut.* λύσω.

LACHETÉ, *s. f. fainéantise*, ῥαθυμία, ας (ἡ) : ὄκνος, ου (ὁ). || *Manque de courage*, ἀνανδρία, ας (ἡ). || *Bassesse d'âme*, φαυλότης, ητος (ἡ). Faire une lâcheté, φαῦλόν τι *ou* αἰσχρόν τι ποιέω, ῶ, *fut.* ήσω.

LACINIÉ, ÉE, *adj.* δι-εσπαραγμένος, η, ον (*partic. parf. passif de* δια-σπαράσσω, *fut.* άξω).

LACIS, *s. m.* δικτύδιον, ου (τὸ).

LACONIQUE, *adj. digne des Lacédémoniens*, λακωνικός, ή, όν. || *Bref, concis*, σύντομος, ος, ον (*comp.* ώτερος, *sup.* ώτατος) : βραχύς, εῖα, ύ (*comp.* ύτερος, *sup.* ύτατος). Style laconique, βραχυλογία, ας (ἡ). Qui a un style laconique, βραχυλόγος, ος, ον.

LACONIQUEMENT, *adv.* συντόμως. Parler laconiquement, βραχυλογέω, ῶ, *fut.* ήσω.

LACONISME, *s. m.* βραχυλογία, ας (ἡ). Affectation de laconisme, λακωνισμός, οῦ (ὁ).

LACRYMAL, ALE, *adj.* Fistule lacrymale, αἰγίλωψ, ωπος (ὁ).

LACRYMATOIRE, *s. m.* φακός, οῦ (ὁ).

LACS, *s. m. nœud, lacet*, βρόχος, ου (ὁ).

LACTÉ, ÉE, *adj.* γαλακτοειδής, ής, ές. || La voie lactée, ὁ γαλαξίας κύκλος, *gén.* γαλαξίου κύκλου.

LACUNE, *s. f. place où il manque quelque chose*, ἔλλειμμα, ατος (τὸ).

LADANUM, *s. m.* λήδανον, ου (τὸ). Arbrisseau qui donne cette gomme, λῆδος, ου (ὁ).

LADRE, *adj. lépreux*, λεπρός, ά, όν. Pourceau ladre, ὁ χαλαζώδης χοῖρος, ου. Être ladre, *en parlant d'un pourceau*, χαλαζάω, ῶ, *fut.* ήσω. || *Insensible*, ἀναίσθητος, ος, ον. || *D'une avarice sordide*, ῥυπαρός, ά, όν (*comp.* ώτερος, *sup.* ώτατος). Un ladre, ἀνὴρ ῥυπαρός *ou* μικρολόγος, ου (ὁ) : κυμινοπρίστης, ου (ὁ).

LADRERIE, *s. f. lèpre*, λέπρα, ας (ἡ). || *Hôpital pour les lépreux*, νοσοκομεῖον, ου (τὸ). || *Maladie des porcs*, χάλαζα, ης (ἡ). || *Sordide avarice*, ῥυπαρία, ας (ἡ).

LAGOPHTHALMIE, *s. f.* λαγωφθαλμία, ας (ἡ).

LAGUNE, *s. f. mare d'eau stagnante*, τέναγος, ους (τὸ). || *Canal*, ἀμάρα, ας (ἡ).

LAI, *s. m. laïque*, λαϊκός, οῦ (ὁ), *Eccl.* || *Complainte, romance*, θρηνῳδία, ας (ἡ).

LAICHE, *s. f. plante graminée*, κύπειρος, ου (ὁ).

LAID, LAIDE, *adj.* αἰσχρός, ά, όν (*comp.* αἰσχίων, *sup.* αἴσχιστος). Figure extrêmement laide, πρόσωπον αἴσχει ὑπερ-βάλλον, οντος (*partic. de* ὑπερ-βάλλω, *fut.* βαλῶ). Un peu laid, tant soit peu laid, ὑπαίσχρος, ος, ον.

LAIDEUR, *s. f.* αἶσχος, ους (τὸ).

LAIE, *s. f. femelle du sanglier*, ἡ ἀγρία ὗς, *gén.* ἀγρίας ὑός.

LAINE, *s. f.* ἔριον, ου (τὸ). Couvert de laine, ἐριώδης, ης, ες. Qui porte de la laine, ἐριοφόρος, ος, ον. Travailler la laine, ἐριουργέω, ῶ, *fut.* ήσω. Qui travaille la laine, ἐριουργός, ός, όν. Action de travailler la laine, ἐριουργία, ας (ἡ). Marchand de laine, ἐριοπώλης, ου (ὁ).

LAINEUX, EUSE, *adj.* ἐριώδης, ης, ες.

LAINIER, *s. m.* ἐριοπώλης, ου (ὁ).

LAIQUE, *adj.* λαϊκός, ή, όν, *Eccl.*

LAISSE, *s. f. lien pour tenir les chiens*, ἱμάς, άντος (ὁ). || Tenir en laisse, *au figuré*, ἡνιοχεύω, *fut.* εύσω, *acc.*

LAISSER, *v. a. quitter*, ἀπο-λείπω, *fut.* λείψω, *acc.* : ἀφ-ίημι, *fut.* ἀφ-ήσω, *acc.* Laissez tout le reste pour ne vous occuper que de cela, πάντα τ' ἄλλα ἀφ-εὶς ταῦτα πρᾶσσε (ἀφ-ίημι, *fut.* ἀφ-ήσω : πράσσω, *fut.* πράξω). || Laissant la mer à droite, τὴν θάλασσαν ἐν δεξιᾷ ποιησάμενος (ποιέομαι, οῦμαι, *fut.* ήσομαι).

LAISSER, *ne pas prendre*, ἀπο-λείπω, *fut.* λείψω, *acc.* Il ne lui laissa rien, οὐδὲν αὐτῷ ἀπ-έλιπε. || Laisser la vie à quelqu'un, τινὸς φείδομαι, *fut.* φείσομαι.

LAISSER, *omettre*, παρα-λείπω, *fut.* λείψω, *acc.* : παρ-ίημι, *fut.* παρ-ήσω, *acc.* : ἐάω, ῶ, *fut.* ἐάσω, *acc.* Je laisse de côté ce qui concerne les dieux, τὰ μὲν θεῶν ἐῶ, *Sophocl.*

LAISSER, *permettre*, ἐάω, ῶ, *fut.* ἐάσω, *acc.* : ἀφ-ίημι, *fut.* ἀφ-ήσω, *acc.* Laissez-moi demeurer parmi ces rochers, ἔα με πέτραις ἐμ-μένειν (ἐμ-μένω, *fut.* μενῶ), *Babr.* Laissez-moi boire, ἄφ-ες με πιεῖν (πίνω, *fut.* πίομαι). *Anacr.* Laisser aller, laisser échapper, laisser tomber, ἀφ-ίημι, *fut.* ἀφ-ήσω, *acc.* Laisser faire, laisser agir, laisser libre, ἀν-ίημι, *fut.* ἀν-ήσω, *acc.* Ayant laissé passer deux jours, ἡμέρας δια-λιπὼν δύο (δια-λείπω, *fut.* λείψω), *Plut.*

LAISSER, *transmettre par succession*, κατα-λείπω, *fut.* λείψω, *acc.* Laisser à ses enfants

une riche succession, τοῖς παισὶ κτῆμα κάλλιστον κατα-λείπω, *fut.* λείψω, *Isocr.* Laisser par testament, δια-τίθεμαι, *fut.* δια-θήσομαι, *acc.* Ce qu'il leur a laissé par son testament, ἃ αὐτοῖς δι-έθετο.

NE PAS LAISSER DE, *faire une chose quand même.* Je ne laisserai pas de faire, οὐδὲν ἧσσον ποιήσω (*fut. de* ποιέω, ῶ). Quoiqu'il m'ait fait beaucoup de mal, je ne laisse pas de l'aimer, πολλά με βλάψαντα, ὅμως ἀγαπῶ (βλάπτω, *fut.* βλάψω : ἀγαπάω, ῶ, *fut.* ήσω).

SE LAISSER, *v. r. se joint en français à beaucoup de verbes, et ne s'exprime pas en grec, ou se tourne par divers idiotismes.* Se laisser tomber, πίπτω *ou* κατα-πίπτω, *fut.* πεσοῦμαι : ὀλισθαίνω, *fut.* ὀλισθήσω. Se laisser persuader aux discours des sages, τοῖς τῶν σόφων λόγοις πείθομαι, *fut.* πείσομαι *ou* πειθήσομαι. Se laisser aller à, ἐμαυτὸν ἐν-δίδωμι, *fut.* ἐν-δώσω, *dat.*

LAIT, *s. m.* γάλα, *gén.* γάλακτος (τὸ). Petit lait, ὀῤῥός, οῦ (ὁ). De lait, γαλάκτινος, η, ον. Qui ressemble au lait, γαλακτοειδής, ής, ές. Imiter la blancheur du lait, γαλακτίζω, *fut.* ίσω. Qui a beaucoup de lait, πολυγάλακτος, ος, ον. Qui n'en a pas, ἀγάλακτος, ος, ον. Qui donne du lait ou qui en fait avoir, γαλακτοποιός, ός, όν. Boire du lait, γαλακτοποτέω, ῶ, *fut.* ήσω. Nourrir avec du lait, γαλακτοτροφέω, ῶ, *fut.* ήσω, *acc.* Cochon de lait, δελφάκιον, ου (τὸ). || Frère *ou* sœur de lait, ὁμογάλακτος, ου (ὁ, ἡ). Frères de lait, ὁμογάλακτες *ou* ἀγάλακτες, ων (οἱ).

LAITAGE, *s. m.* τὰ γαλάκτινα, ων.

LAITE, *ou* LAITANCE, *s. f.* γαλακτίδες, ων (αἱ).

LAITERIE, *s. f.* γαλακτοκομεῖον, ου (τὸ)? Qui a soin de la laiterie, γαλακτοκόμος, ου (ὁ, ἡ).

LAITERON, *s. m. plante,* σόγκος *ou* σόγχος, ου (ὁ).

LAITEUX, EUSE, *adj. semblable à du lait,* γαλακτοειδής, ής, ές : γαλακτίζων, ουσα, ον (*partic. de* γαλακτίζω, *fut.* ίσω). *Plein d'un suc laiteux,* γαλακτώδης, ης, ες : ὀπώδης, ης, ες.

LAITIÈRE, *s. f.* γαλακτοπῶλις, ιδος (ἡ)?

LAITON, *s. m. métal,* ὀρείχαλκος, ου (ὁ).

LAITUE, *s. f. herbe potagère,* θρίδαξ, ακος (ὁ). Petite laitue, θριδάκιον, ου (τὸ).

LAMBEAU, *s. m.* ῥάκος, ους (τὸ) : ῥάκιον, ου (τὸ). Habit qui tombe en lambeaux, τὸ πελύσαθρον ἱμάτιον, ου.

LAMBOURDE, *s. f.* δοκίς, ίδος (ἡ).

LAMBRIS, *s. m.* φάτνωμα, ατος (τὸ). || *Au fig. toit, voûte,* στέγη, ης (ἡ) : καμάρα, ας (ἡ).

LAMBRISSER, *v. a.* φατνόω, ῶ, *fut.* ώσω, *acc.* Lambrissé, ée, φατνωτός, ή, όν.

LAMBRUCHE, *ou* LAMBRUSQUE, *s. f. vigne sauvage,* ἀγριάμπελος, ου (ἡ).

LAME, *s. f. plaque de métal,* ἔλασμα, ατος (τὸ) : ἐλασμός, οῦ (ὁ) : *ou plus souvent* πέταλον, ου (τὸ). Lame d'or, τὸ χρυσοῦν πέταλον, ου. || Lame de couteau, d'épée, *etc.* σπάθη, ης (ἡ). *On tourne ordinairement par les mots* épée, couteau.

LAMENTABLE, *adj.* ἐλεεινός, ή, όν (*comp.* ότερος, *sup.* ότατος). Récit lamentable, ἐλεεινολογία, ας (ἡ). Voix lamentable, ἡ θρηνώδης φωνή, ῆς.

LAMENTABLEMENT, *adv.* ἐλεεινῶς.

LAMENTATION, *s. f.* θρῆνος, ου (ὁ).

LAMENTER, *v. a.* θρηνέω, ῶ, *fut.* ήσω, *acc.* || Se lamenter, *v. r.* θρηνέω, ῶ, *fut.* ήσω : αἰάζω, *fut.* άξω : οἰμώζω, *fut.* ώξω : ὀδύρομαι *ou* ὀλοφύρομαι, *fut.* υροῦμαι.

LAMIE, *s. f. sorte de requin,* λαμία, ας (ἡ).

LAMINAGE, *s. m.* ἐλασμός, οῦ (ὁ).

LAMINER, *v. a.* ἐλαύνω, *fut.* ἐλάσω, *acc.* Laminer de l'or, πέταλα χρυσᾶ ἐλαύνω.

LAMINOIR, *s. m.* ἔλαστρον, ου (τὸ).

LAMPE, *s. f.* λαμπάς, άδος (ἡ) : λύχνος, ου (ὁ). Petite lampe, λαμπάδιον, ου (τὸ) : λύχνιον *ou* λυχνίον, ου (τὸ).

LAMPION, *s. m.* λύχνος, ου (ὁ).

LAMPROIE, *s. f. poisson,* μύραινα, ης (ἡ)?

LANCE, *s. f.* λόγχη, ης (ἡ). Bois d'une lance, δόρυ, *gén.* δόρατος (τὸ). Armé d'une lance, λογχοφόρος *ou* δορυφόρος, ου (ὁ, ἡ).

LANCER, *v. a.* βάλλω, *fut.* βαλῶ, *acc.* : ἀφ-ίημι, *fut.* ἀφ-ήσω, *acc.* Lancer un trait, ἀκοντίζω, *fut.* ίσω. Lancer la foudre, κεραυνοβολέω, ῶ, *fut.* ήσω. || *Au fig.* Lancer contre quelqu'un des traits de raillerie, σκώμμασί τινα βάλλω, *fut.* βαλῶ. Lancer sur quelqu'un des regards affreux, πρός τινα γοργὸν βλέπω *ou* ἀνα-βλέπω, *fut.* βλέψομαι. || Se lancer sur quelqu'un, τινὶ *ou* ἐπί τινα ἐφορμάω, ῶ. *fut.* ήσω.

LANCETTE, *s. f.* σμιλίον, ου (τὸ).

LANCIER, *s. m.* λογχοφόρος, ου (ὁ).

LANDE, *s. f.* χέρσος, ου (ἡ).

LANERET, *s. m. voyez* Lanier.

LANGAGE, *s. m. idiome d'une nation*, γλῶσσα, ης (ἡ) : διάλεκτος, ου (ἡ) : ἰδίωμα, ατος (τὸ). ‖ *Manière de s'énoncer*, λέξις, εως (ἡ). **Faute de langage**, σολοικισμός, οῦ (ὁ). **En faire**, σολοικίζω, *fut.* ίσω. ‖ *Discours*, *propos*, λόγος, ου (ὁ). **Langage inconvenant**, λόγος ἀπρεπής, οῦς (ὁ) : ἡ τοῦ λόγου ἀσχημοσύνη, ης.

LANGE, *s. m.* σπάργανον, ου (τὸ). **Envelopper dans des langes**, σπαργανίζω, *fut.* ίσω, *acc.* : σπαργανόω, ῶ, *fut.* ώσω, *acc.*

LANGOUREUSEMENT, *adv.* μαλακῶς.

LANGOUREUX, euse, *adj.* μαλακός, ή, όν (*comp.* ώτερος, *sup.* ώτατος).

LANGOUSTE, *s. f. sorte de homard*, ἀστακός, οῦ (ὁ).

LANGUE, *s. f. organe du goût et de la parole*, γλῶσσα, ης (ἡ). **Qui n'a point de langue**, ἄγλωσσος, ος, ον. **Qui a trois langues**, τρίγλωσσος, ος, ον. **Semblable à une langue**, γλωσσοειδής, ής, ές. **Couper la langue**, γλωσσοτομέω, ῶ, *fut.* ήσω. — **à quelqu'un**, τινά. **Qui a la langue coupée**, γλωσσότμητος, ος, ον. ‖ **Intempérance de langue**, ἀθυρογλωσσία, ας (ἡ). **Retenir sa langue, en être le maître**, τῆς γλώσσης κρατέω, ῶ, *fut.* ήσω, *ou* γλωσσοκρατέω, ῶ, *fut.* ήσω. **N'en être pas maître**, τῆς γλώσσης ἀκρατῶς ἔχω, *fut.* ἕξω. **Coup de langue**, κερτομία, ας (ἡ). ‖ **Mauvaise langue**, ἡ κακήγορος γλῶσσα, ης.

Langue, *langage*, γλῶσσα, ης (ἡ) : φωνή, ῆς (ἡ) : διάλεκτος, ου (ἡ). **Qui parle plusieurs langues**, πολύγλωσσος, ος, ον. **Parler la même langue**, ὁμογλωσσέω, ῶ, *fut.* ήσω. **Qui parle la même langue**, ὁμόγλωσσος *ou* ὁμόφωνος, ος, ον. **Parler la langue grecque**, τῇ φωνῇ ἑλληνίζω, *fut.* ίσω. **Il nous saluait en langue grecque**, ἠσπάζετο ἡμᾶς (ἀσπάζομαι, *fut.* άσομαι) τῇ ἑλληνικῇ φωνῇ, *ou par l'adverbe*, ἑλληνιστί. ‖ **Ne pas faire de faute contre la langue**, ὀρθῷ λόγῳ χράομαι, ῶμαι, *fut.* χρήσομαι : ὀρθολογέω, ῶ, *fut.* ήσω. **En faire**, σολοικίζω, *fut.* ίσω. ‖ **Prendre langue**, *reconnaître les lieux*, τὴν χώραν κατα-σκοπέω, ῶ, *fut.* ήσω, *acc.*

Langue **de terre**, *presqu'île*, χερσόνησος *ou* χεῤῥόνησος, ου (ἡ). — *isthme*, ἰσθμός, οῦ (ὁ). ‖ **Langue-de-chien**, *plante*, κυνόγλωσσον, ου (τὸ). **Langue-de-cerf**, *plante*, σκολοπένδριον, ου (τὸ).

LANGUETTE, *s. f. petite langue*, γλωσσάριον, ου (τὸ). ‖ *Petite lanière*, γλωσσίς, ίδος (ἡ). ‖ **Languette d'un instrument à vent**, γλωσσίς, ίδος (ἡ). ‖ **Languette d'une balance**, κανών, όνος (ὁ).

